Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

600096273X

116.

# BOËCE

DE LA

# CONSOLATION DE LA PHILOSOPHIE

## TRADUCTION GRECQUE

DE

**MAXIME PLANUDE**

publiée pour la première fois dans son entier

PAR

**E.-A. BÉTANT**

PROFESSEUR AU GYMNASE DE GENÈVE

GENÈVE

IMPRIMERIE CAREY FRÈRES, RUE DU VIEUX-COLLÉGE, 3

1871

FR. WAGNER'SCHE BUCHHANDLUNG FREIBURG I/BREISGAU

# BOËCE

DE LA

# CONSOLATION DE LA PHILOSOPHIE

## TRADUCTION GRECQUE

DE

**MAXIME PLANUDE**

publiée pour la première fois dans son entier

PAR


E.-A. BÉTANT

PROFESSEUR AU GYMNASE DE GENÈVE


BIBLIOTHECA BODLEIANA


GENÈVE

IMPRIMERIE CAREY FRÈRES, RUE DU VIEUX-COLLÉGE, 3.

1871

600096273X

116

# BOËCE

DE LA

ON DE LA PHILOSOPHIE

ADUCTION GRECQUE

DE

MAXIME PLANUDE

our la première fois dans son entier

PAR

E.-A. BÉTANT

GENÈVE

CAREY FRÈRES, RUE DU VIEUX-COLLÉGE, 3

1871

FR. WAGNER

LOSOPHIE

E

on entier

CA·BODLEIANA

-COLLÉGE, 3.

# BOËCE

DE LA

# CONSOLATION DE LA PHILOSOPHIE

## TRADUCTION GRECQUE

DE

**MAXIME PLANUDE**

publiée pour la première fois dans son entier

PAR

**E.-A. BÉTANT**

PROFESSEUR AU GYMNASE DE GENÈVE

BIBLIOTHECA BODLEIANA

GENÈVE

IMPRIMERIE CAREY FRÈRES, RUE DU VIEUX-COLLÉGE, 3.

1871

Anicius Manlius Torquatus Severinus, surnommé Boethius, appartenait à une famille patricienne de Rome, et florissait vers la fin du cinquième siècle de l'ère chrétienne, du temps de Théodoric roi des Ostrogoths. En dehors de sa carrière politique, il est connu comme auteur de divers travaux de philosophie et de littérature, en particulier du traité intitulé *De consolatione Philosophiæ*, ouvrage mélangé de vers et de prose, divisé en cinq livres, et écrit dans un latin remarquable par son élégance et sa pureté.

Ce traité longtemps classique, et fort étudié dans les écoles du moyen-âge, n'a commencé à être mis en oubli qu'à l'époque de la renaissance, où il fut éclipsé par la réapparition des textes anciens. Il a été traduit dans la plupart des langues de l'Europe moderne, même en hébreu.

La version grecque, publiée ici pour la première fois dans son entier, est attribuée à Maxime Planude, moine constantinopolitain, qui vivait dans la première moitié du quatorzième siècle, et qui s'est acquis une certaine renommée par sa collection de l'Anthologie et par sa rédaction des fables d'Esope.

Il existe plusieurs autres traductions de latin en grec, élaborées par ce moine studieux. Pour ne citer

que celles qui ont été imprimées, nous possédons de lui *les Métamorphoses d'Ovide, les Commentaires de César, les Distiques de Caton* (en vers). La traduction de Boëce était inédite, hormis la partie métrique, publiée en 1833 d'après un manuscrit de Vienne par M. Weber, professeur à Darmstadt.

Les manuscrits de cet opuscule de Planude ne sont pas rares. Fabricius en mentionne jusqu'à seize, dont huit dans la seule bibliothèque nationale de Paris. Le mien, que je dois à mes relations avec la Grèce, est un petit in-4° de 149 feuillets non paginés, écrit en caractères cursifs du quinzième siècle, sur papier vergé et rayé à l'ongle, d'après la méthode byzantine. Il est très-soigné et en général correct, surtout dans la partie prosaïque.

Indépendamment de la traduction proprement dite, ce manuscrit renferme 1° une courte préface roulant sur la biographie de Boëce, et terminée par un pompeux éloge du travail de Planude, preuve que cette préface n'est pas de lui; 2° en marge de chaque morceau de vers, l'indication des mètres dont le traducteur s'est servi, et qui sont fidèlement calqués sur ceux de l'original; ces indications se trouvent déjà dans l'édition de Weber; 3° des notes succinctes, qui semblent avoir été composées par Planude, mais qui, sauf un très-petit nombre, m'ont paru dénuées d'intérêt.

Outre l'édition de Weber, contenant, pour les morceaux en vers, la collation d'un manuscrit de Paris, faite par M. Hase, j'ai pu consulter, pour les mêmes morceaux, la collation d'un autre manuscrit également de Paris, exécutée par M. Boissonnade, et qui m'a été communiquée par M. Egger, membre de l'Institut.

Je n'ai point la prétention de donner une édition critique, pour laquelle les matériaux m'auraient manqué ; mais j'ai pensé faire une chose agréable aux amateurs des études byzantines, en leur offrant un document nouveau et d'une incontestable valeur. Ils y trouveront, au milieu de nombreuses traces de décadence, un échantillon montrant à quel point les connaissances classiques s'étaient maintenues en Grèce jusqu'à une époque si voisine de la date néfaste, communément assignée à leur complet évanouissement.

*Genève, le 20 Octobre 1870.*

**E.-A. BÉTANT.**

# Α. Μ. Σ. ΒΟΗΘΙΟΥ

*βίβλος*

## ΠΕΡΙ ΠΑΡΑΜΥΘΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

---

## ΒΙΒΛΙΟΝ Α.

῞Ος πάρος ἐσπούδαζον ἐπῶν περὶ ξύνθεσιν ἡδέων,
    ᾆσμα προῆγμαι νῦν, φεῦ, γοερόν τι πλέκειν.
Δὴ γάρ μοι μέλεαι μελετῶσι τὰ γραπτέα Μοῦσαι,
    ἀψευδῶν ἐλέγων δάκρυσι τεγγομένῳ.
Οὐδὲν γὰρ καὶ τάσδε κατηγωνίσσατο [1]) τάρβος,
    ὥστε συνεμπορίην ἡμετέρην προλιπεῖν.
Δόξα δ'ἐμῆς νεότητος ἐϋπραγέος πάρος οὖσαι,
    νῦν παραμυθεῦνται γήραϊ δυσπραγίην.
Ἦλθε κακοῖς γὰρ ἐπειχθὲν ἄελπτον γῆρας, ἐῇ δὲ
    ἡλικίῃ με τελεῖν κέκλετο κηδοσύνη.
Καὶ κεφαλῆς πολιαὶ καταχεῦνται πάγχυ πρὸ ὥρας,
    καὶ τρομέει σαρκῶν δέρμα κενωθὲν ἅπαν.
῎Ολβιος οἶτος ἐκεῖνος, ὃς οὐκ ἦλθ' εὐτυχέουσι,
    κληθεὶς δ'εὐθὺς ἔβη δυστυχέουσι βροτοῖς.
Ἆ, πόσα δυσπραγέοντας ἀποστρέφετ' οὔασι κωφοῖς,
    κλείειν δ'οὐκ ἐθέλει πενθαλέα [2]) βλέφαρα.
Εὖτε τύχη γὰρ ἄπιστος ἐδεξιόωτό με τερπνοῖς,
    μικροῦ με κρυερὸς πότμος ἀπηφάνισε.
Νῦν δ'ἐπεὶ ἡ δολερὴ δνοφερὴν μεταμείψατο [3]) μορφὴν,
    ἕλκει ἔμοιγε τριβὴν ἡ βιοτὴ [4]) στυγερήν.
Τίπτε με ὡς εὐδαίμονα πόλλ' ἐσεμνύνατε, γνωστοί;
    οὐκ εἶχε σταθερὴν ὅστις ὄλισθε βάσιν.

---

[1]) MSC. κατηγωνίσατο, corr. de Weber. [2]) πανθαλέα. [3]) μετημείψατο, [4]) βιωτή.

Ταῦτα δή μοι κατ' ἐμαυτὸν ἡσυχῇ διαλογιζομένῳ, τήν τε συμφοράν, ἣν ἀποδυρόμενος ἐτύγχανον δάκρυσι, γραφίδι χαράττοντι, ἔδοξεν ὑπὲρ κεφαλῆς ἐπιστῆναι γυναῖκα σεμνοπρεπῆ τὴν ὄψιν εἰς ὑπερβολήν, τοῖς τε ὀφθαλμοῖς φλογοειδέσι καὶ τὴν κοινὴν ἀνθρώποις εἰς τὸ ὁρᾷν δύναμιν τῷ τε γοργῷ καὶ ὀξεῖ παριοῦσι [1], καὶ τῷ χρώματι ὑπερύθρῳ χρωμένην [2], ἀκραιφνῆ τὴν ἰσχύν, εἰ καὶ ταμάλιστα πλήρης αἰῶνος ἦν, ὡς μηδαμῇ μηδαμῶς τῶν εἰς ἡμετέραν ἀφικνουμένων ἡλικίαν εἶναι πιστεύεσθαι· τὴν ἡλικίαν ὥστε καὶ διαγινώσκειν ἀμφίβολον· νῦν μὲν γὰρ εἰς τὸ πεφυκὸς ἀνθρώποις συνῆγεν ἑαυτὴν μέτρον, νῦν δὲ τῷ οὐρανῷ μετεωριζομένην εἰς ὕψος τὴν κορυφὴν προσερείδειν ἐῴκει· ἔστι δ' ὅτε τὴν κεφαλὴν ἐπὶ τὰ ὑψηλότερα αἴρουσα, καὶ αὐτὸν ἤδη τὸν οὐρανὸν διετίτρα, καὶ τῶν ἀτενιζόντων τὰς ὄψεις ἐν τῷ ἀπόρῳ καθίστα. Ἐσθῆτες ἦσαν τῇ φανείσῃ νήματος λεπτοτάτου, ἀκριβείᾳ τέχνης πρὸς τὸ ἀδιάλυτον ἐπεξειργασμέναι [3]), ἅς, ὥς που μικρῷ ὕστερον ἔγνων φραζούσης, αὐτοχειρίᾳ αὐτὴ ἐξεπόνησε· πλὴν καθ' ὅσον ὁποῖα φιλεῖ γίγνεσθαι, καπνώδεις τύπους αὐταῖς ἀχλύς τις ἐκ παλαιότητος ὀλιγωρηθείσαις ἐπήνεγκε. Τούτων ἐν μὲν τῷ κατωτάτω κρασπέδῳ Π στοιχεῖον ἑλληνικόν, ἐν δὲ τοῖς ἀνωτάτω Θ παρῆν ἀναγινώσκειν ἐνεστιγμένα [4]· ἐν τῷ μεταξὺ δὲ τοῖν στοιχείοιν ἀμφοῖν, κατ' ἴσον κλίμακι, βαθμοί τινες διεφαίνοντο καταγεγραμμένοι, ὡς οὔσης ἀνόδου πρὸς τὸ ὑπερκείμενον ἐκ τοῦ ὑποτεταγμένου. Ἀλλ' ἀλιτηρίων τινῶν τὴν ἐσθῆτα ταύτην χεῖρες περιεῤῥήξαντο, καὶ ἃ ἕκαστοι μόρια οἷοί τ' ἐγένοντο πρὸς βίαν ἀφείλοντο. Ἐπεφέρετό τε μετὰ χεῖρας βιβλία μὲν τῇ δεξιᾷ, τῇ δέ γε λαιᾷ σκῆπτρον. Ἢ καὶ τὰς ποιητικὰς Μούσας τῷ ἐμῷ προσεστώσας σκίμποδι ἐπιδοῦσα καὶ ταῖς ἐμαῖς ὑπαγορευούσας ὀλοφύρσεσιν ἔπη, μικρὸν ὑποκινηθεῖσα καὶ πρὸς τῷ βλοσυρῷ [5]) ἐκπυρωθεῖσα τοὺς ὀφθαλμούς· Τίς, ἔλεγε, ταυτασὶ τὰς ἀπὸ σκηνῆς ἑταιρίδας παρελθεῖν ἐφῆκεν ὡς τόνδε κακῶς ἔχοντα, αἵπερ [6]) αὐτοῦ τὰς ὀδύνας, οὐχ ὅπως οὐκ ἔστιν αἷς τισι δὴ θεραπείαις ἀκέσονται, ἀλλὰ καὶ κωνείοις ἡδέσιν αὐξήσουσι τρέφουσαι; Αὗται γάρ εἰσιν

[1]) Dépassant. MSC. περιούσῃ. [2]) χρωμένῃ. [3]) ἐπεξειργασμένας. [4]) *Note de Planude:* τὸ Π στοιχεῖον δηλοῖ τὸ πρακτικόν, τὸ δὲ Θ τὸ θεωρητικόν. εἰς γὰρ ταῦτα καὶ διαιρεῖται ἡ φιλοσοφία. [5]) βλοσσυρῷ. [6]) ἅςπερ.

αἱ ταῖς ἀκάρποις τῶν ἐπιθυμιῶν ἀκάνθαις τὸ πολύφορον τοῦ λόγου συμπνίγουσαι λήϊον, τάς τε τῶν ἀνθρώπων διανοίας ἐθίζουσαι πρὸς τὰ πάθη μᾶλλον ἢ λύουσαι. Εἰ μὲν γὰρ τῶν ἐκδεδιῃτημένων τινὰ, τοῦτο δὴ τὸ εἰθισμένον ὑμῖν πανταχῇ, αἱ ὑμέτεραι θωπεῖαι ὑπέσπων τε καὶ προσεποιοῦντο, ἐλάχιστα ἂν χαλεπῶς σχοῦσα ἀνεκτὸν εἶναι ἐλογισάμην, οὐδὲν γὰρ ἐντεῦθεν ἀνήκεστον τοῖς ἐμοῖς σπουδάσμασι συμβαῖνον ἑώρων· τοῦτον δὲ τὸν τοῖς Ἐλεατικοῖς ἅμα καὶ Ἀκαδημαϊκοῖς ἀγῶσιν ἐκ παίδων τραφέντα; Ἀλλ' ἄπιτε θᾶσσον, Σειρῆνες μέχρις ὀλέθρου γλυκεῖαι, καὶ ταῖς ἐμαῖς αὐτὸν ἐπιμελείας τε ἀξιωθησόμενον καὶ θεραπευθησόμενον ἐάσατε Μούσαις. Τούτοις ὁ ἐκείνων χορὸς ἐπιτιμηθεὶς τοὺς ὀφθαλμοὺς εἰς τὸ δάπεδον ἐν ἀθυμίᾳ γενόμενος ἤρεισε, καὶ τὴν αἰσχύνην τῷ ἐρυθήματι διομολογησάμενος τῆς θύρας ἀλύων ἐξώρμησεν. Ἐμο δὲ τοῦ τε ὀπτικοῦ (ἐπεὶ ἐβαπτίσθη τοῖς δάκρυσι) σκοτωθέντος, κα οὐκ ὂν διαγνῶναι τίς ἄρα [1]) καὶ ἔστιν ἡ γυνὴ, ᾗ τοσόνδε τι περιῆν αὐτοκρατοῦς ἐξουσίας, ἐκπλαγεῖ συνηνέχθη γενέσθαι. Καὶ γοῦν τὸ πρόσωπον κλίνας εἰς γῆν, ὅ τι δὴ ἂν εἴη τοῦ λοιποῦ [2]) διαπραξομένη [3]) σιγῇ αὐτόθεν ἐξεδεχόμην. Ἡ δὲ εἰς τὸ ἐγγυτέρω προσελθοῦσα περὶ τὰ ἔσχατα τῆς ἐμῆς εὐνῆς καθιδρύνθη· καί μου τὴν ὄψιν ἐπισκεψαμένη τοῖς θρήνοις συγκεχυμένην τῇ τε βαρυθυμίᾳ κάτω πρὸς γῆν νεύουσαν, ἔπη τοιάδε, τὴν τῆς ἐμῆς διανοίας δυσανασχετήσασα σύγχυσιν, ἔρρηξε.

Φεῦ, οἷον βρύχιον νοῦς ποτὶ βένθος
καδδὺς ἀμβλύνεται, καὶ σφέτερον φῶς
λείψας, πρὸς σκοτίαν εἶσι βαθεῖαν,
τοῖς χθονίοις ὁσάκις πνεύμασιν αὔξει
ἀργαλέη τύρβη πολλὸν ἐν αὐτῷ·
καὶ γὰρ ὅδ' εἰωθὼς σύνδρομον ἄστροις
πρόσθ' [4]) ὑπ' ἐλευθερίας τὸν νόον ἴσχειν,
ἔβλεπεν ἠελίου φῶς ῥοδοειδὲς,
ἔβλεπε καὶ ψυχρῆς ὄμμα σελήνης,
πρὸς δέ τε πλαγκτοσύνην ἐς πόλον ἄστρων,
τὴν περιδινεῦνται κυκλάδι ῥυθμῷ,
ἔσχεν ἄριστα μαθεῖν ψηφοφορήσας·
διζόμενός τε λόγους, πῶς ποτ' ἄηται
ἠχήεντες ἁλὸς κῦμα δονοῦσιν,

---

[1]) MSC. ἄρα. [2]) τουλοιποῦ. [3]) διαπραξαμένη. [4]) πρός θ'.

πνεῦμα ποῖον κινεῖ στεῤῥὸν Ὄλυμπον,
ἑσπέριός τε πεσὼν ὕδασιν ἀστὴρ,
πῶς ἄρ' ἐς ἀντολίας ἦλθε φαανθείς·
τίς δ' ἔαρος κιρνῶν εὔπνοον ὥρην,
ἄνθεσι καὶ ποίαις τὴν χθόνα κοσμεῖ·
ἀνυμένου δ' ἔτεος, τίς μετοπώρῳ
οἰνοτόκοις σταφυλαῖς ὤπασε βρίθειν,
κευθομένους τε λόγους, οὓς λάχε πολλοὺς
δαιδαλέους τε φύσις, πάνσοφα φαίνων·
νῦν ὀλέσας νοερὸν φῶς κατάκειται,
σφιγγόμενός τε δέρην γυιοπέδησι,
πρηνιχθεὶς [1]) τ' ὄψιν ἄχθεϊ δεινῷ,
γῆν ὁράαν ἀμαθῆ, φεῦ, βίαν ἴσχει.

Ἀλλὰ γὰρ θεραπείας ἐν τῷ παρόντι, φησί, δεῖ μᾶλλον ἢ περιπαθείας. Κἀν τούτῳ ὅλοις ὀφθαλμοῖς εἰς ἐμὲ ἀτενίσασα· Οὐκ ἐκεῖνος, εἶπεν, εἶ σὺ, ὃς τῷ ἡμετέρῳ τραφείς ποτε γάλακτι καὶ τοῖς ἐμοῖς σιτίοις ἡγμένος, εἰς ἀνδρικοῦ φρονήματος ῥώμην ἀνέδραμες; Καὶ [2]) γάρ τοιάδε σοι ὅπλα παραδεδώκαμεν, ἃ εἰ μὴ πρότερος αὐτὸς κατέθου, ἀηττήτῳ σε ἂν ἰσχύϊ ἐφύλαττεν. Ἆρά με ἐπιγινώσκεις; Τί σιγᾷς; Αἰδοῖ ἢ ἐκπλήξει τὴν γλῶτταν ἐπέχῃ; Ὄφελον μὲν αἰδοῖ, νῦν δὲ, ὅσα γε κἀμὲ ὁρᾷν, ἔκπληξίς σε πιέζει. Ἐπεὶ δὲ οὐχ ὅπως με σιωπῶντα, ἀλλὰ καὶ ἐς πᾶν ἀφωνίας ἥκοντα καὶ ἐνεὸν [3]) κατενόει, ἐπέβαλέ τε τῷ ἐμῷ στήθει ἀτρέμα τὴν δεξιὰν, καί· Οὐδοτιοῦν ἐστὶ κινδύνου, φησί· λήθαργον γὰρ πάσχει, τὸ εἰωθὸς ταῖς ἀπάτῃ παρηγμέναις ψυχαῖς ἀῤῥώστημα, καὶ ἑαυτοῦ μὲν πρὸς βραχὺ ἐπιλέλησται· ἀναμνησθήσεται δὲ ῥᾷον αὖθις, εἴπερ ἡμᾶς ᾔδει καὶ πρόσθεν. Ὡς ἂν δὲ τοῦτ' αὐτῷ εἴη, ἐπὶ μικρὸν τὴν ὄψιν αὐτοῦ τῇ τῶν ἐπικήρων πραγμάτων ἀχλύϊ ἀμαυρωθεῖσαν ἀποκαθάρωμεν. Ταῦτ' εἶπε, καὶ τοὺς ὀφθαλμούς μοι τοῖς δάκρυσι διαβρόχους καθεστηκότας ἀπεμόρξατο, τὴν ἐσθῆτα συνεφελκυσαμένη.

Δὴ τότε με κνέφας ἔλλιπεν [4]) ὄρφνης ἐξελαθείσης,
 ἲς προτέρη δ' ἐπανέδραμεν ὄμμασιν.
Ὡς δ' ὁπότ' ἀργέστου σκιάοντος τείρεα κραιπνοῦ,
 ὀμβρηραῖς κρύφθη νεφέλαις πόλος
καὶ φαέθων, οὔπω δὲ κιοῦσιν ἐς οὐρανὸν ἄστροις
 ὑψόθεν ἐς χθόνα νὺξ κατακίδναται·

---

[1]) MSC. πρινιχθείς. [2]) ναί. [3]) ἐννεόν. [4]) ἔλιπεν, corr. de Weber.

τὴν δ' εἰ Θρηϊκίου βορέας πεμφθεὶς ἀπὸ ἄντρου
τύπτοι, κλεισθὲν ἄρ' ἦμαρ ἀνοιγνυται,
ἠέλιος δ' αἴγλησι [1]) φανεὶς μέγας ἐξαπιναίως,
θαυμάσιος πέμπει βλεφάροις σέλας.

Οὕτω τῶν τῆς ἀθυμίας διαλυθέντων νεφῶν, τόν τε οὐρανὸν εἶδον, καὶ ἐφῷ τὴν τῆς ἐπιμελομένης ὄψιν ἀκριβῶσαι, συνήγαγον ἐμαυτόν. Ἐπεὶ δὲ τοὺς ὀφθαλμούς τε μετήγαγον καὶ πρὸς αὐτὴν ἤρεισα, ὁρῶ τὴν ἐμὴν τιθηνὸν, ἧς ἐξ ἔτι παίδων τοῖς ταμείοις ἐφρουρούμην, Φιλοσοφίαν. Καὶ ἵνα τί, ἀναβοήσας εἶπον, εἰς τήνδε τῆς ἐμῆς ὑπερορίας τὴν ἐρημίαν, ὦ πασῶν μυσταγωγὲ τῶν ἀρετῶν, τῶν οὐρανίων ἀντύγων καταπτᾶσα ἐπέστης; ἆρ' ἵνα δὴ καὶ αὐτὴ σὺν ἐμοὶ δίκας ὑπέχοις, συκοφαντίαις τισὶ καταδικασθεῖσα; Ἡ δὲ ὑπολαβοῦσά φησι· Καὶ πῶς ἄν σε, τρόφιμε, καταλιποῦσα οἰχοίμην, οὐδέ γε τὸ ἐπιτεθέν σοι φθόνῳ τῆς ἡμετέρας προσηγορίας ἄχθος, κοινωνήσασά σοι τῶν πόνων, συνδιενέγκοιμι; Οὐδὲ γὰρ θεμιτὸν τῇ φιλοσοφίᾳ χρηστὸν ἄνδρα καὶ ἀνεύθυνον καταλιπεῖν ἔρημον, ὡς δή που τὴν ἐμὴν αὐτῆς καταδίκην αἰσχυνομένῃ καὶ, ὡσπερεὶ τινος καινοῦ προσπεσόντος, καταῤῥωδούσῃ. Ἄρτι καὶ γὰρ πρότερον οἴει παρὰ τοῖς ἀκολάστοις τοὺς τρόπους εἰς ἔσχατον ἀφῖχθαι κινδύνων φιλοσοφίαν; Οὐχὶ δὲ καὶ παρὰ τοῖς παλαιοῖς καὶ πρὸ τῶν τοῦ ἡμετέρου Πλάτωνος χρόνων βαρὺν πολλάκις ἀγῶνα πρὸς τὴν τῆς ἀμαθίας ἀπόνοιαν διηνέγκαμεν; Τούτου γὰρ ἔτι περιόντος ὁ οἰκεῖος καθηγητὴς Σωκράτης οὐ σὺν δίκῃ τὴν διὰ θανάτου νίκην ἐμοῦ συμπαραστατούσης ἀνείλετο. Οὗ τὸν παραπεμφθέντα [2]) κλῆρον ἐφεξῆς ὁ Ἐπικούρειός τε καὶ Στωϊκὸς ὄχλος οἵ τε ἄλλοι ἕκαστοι ἀνὰ μέρος διαρπάσαι φιλοτιμούμενοι, ἐμοῦ πρὸς ταῦτα διαμαρτυρομένης καὶ ἀντιβαινούσης, τρόπον ἀποσπῶντες λαφύρων, ἣν ἰδίαις ἐξυφηνάμην χερσὶν ἐσθῆτα, παρεῤῥήξαντο, καὶ ῥάκι' ἄττα ἐξ αὐτῆς ἀφελόμενοι, καὶ ὅλην με ὑπεκστῆναι αὐτοῖς ὑποτοπήσαντες, ἀπηλλάγησαν. Ἐν οἷς ἐπειδὴ τῆς ἡμετέρας διαθέσεως ἴχνη καθεωρῶντό τινα, γνησίους ἐμοὶ τυγχάνειν φαντασίαν ἡ ἀμαθία λαβοῦσα, ἔστιν οὓς τῇ τῶν ἀπαιδαγωγήτων ἀνθρώπων πλάνῃ ἀνέτρεψεν. Ὥστ' οὖν εἰ μήτε τὴν Ἀνα-

---

[1]) MSC. αἴγλησι. [2]) transmis par héritage.

ξαγόρου φυγήν, μήτε τὸ Σωκράτους κώνειον, μήτε τὰς Ζήνωνος τιμωρίας, ὅτι δὴ τῶν ἀλλοδαπῶν εἰσίν, ἐπίστῃ, τοὺς γοῦν Κανίους, τοὺς Σενέκας, τοὺς Σωρανούς, ὧν οὔτε παλαιτάτη καὶ ἀοίδιμος ἡ μνήμη, μαθεῖν οἷός τ' ἐγένου. Τούτους γὰρ οὐδὲν ἄλλο τοῦ βίου ἀπήγαγεν, ὅτι μὴ τὸ τοῖς ἡμετέροις τρόποις ἐῤῥυθμισμένους ὄντας ἀνομοιοτάτους τοῖς τῶν μισαρέτων καὶ ἀναγώγων σπουδάσμασιν ὑποπτεύεσθαι. Ἀμέλει καὶ οὐδέν ἐστιν ὃ σὺ διὰ θαύματος ἄγεις, εἴπερ ἐν τῷ τοῦ παρόντος βίου σάλῳ καταιγίσιν ἀντιπνεούσαις ἄνω καὶ κάτω στροβούμεθα, οἷς τοῦτο σκοπὸς μάλιστα τὸ μὴ ταὐτὰ τοῖς ἄλλοις πρεσβεύειν. Ὧν εἰ καὶ τὰ μάλιστα πλεῖστον ὅσον τὸ στράτευμα καὶ ἀπερίληπτον ἀριθμῷ, ἀλλὰ καὶ ὡς ὑπεροπτέον ἐστίν, ὅτι ὑπὸ μηδενὶ τάσσεται ἡγεμόνι, προπετῶς δὲ πλανώμενον καὶ σκεδαννύμενον εὐχερῶς πανταχόσε φέρεται. Ὃ κἂν στρατοπεδείᾳ καθ' ἡμῶν ἔσθ' ὅτε χρησάμενον ἐῤῥωμενέστερον προσαράξῃ, εὐθὺς ἡ μὲν ἡμετέρα ἡγεμονὶς τὰς σφετέρας δυνάμεις ἐπὶ τὴν ἄκραν ἀνακαλεῖ, οἱ δὲ περὶ τὸ διαρπάζειν τὰ ὀλίγου ἢ μηδενὸς ἄξια ἔχουσιν · ἡμεῖς δὲ ἄνωθεν διαγελῶμεν αὐτοὺς τὰ πάντων ἀτιμότατα ἰδιουμένους, ἐν ὀλιγωρίᾳ ποιούμενοι τὴν ἔμπληκτον σφῶν ἐπιδρομήν, τοιούτῳ γε περιπεφραγμένοι τῷ χάρακι, ὃν τὴν ἐξυβρίζουσαν ἀμαθίαν οὐκ ἐξὸν ὑπερβαίνειν.

Ὅστις σώφρονι χρώμενος διαίτῃ
μοῖραν ποσσὶν [1]) ὑπήγαγε θρασεῖαν,
ἄμφω μοιριδίας τροπάς τε λεύσσων [2]),
ἀστεμφῆ νόον ἔσχε τοι φυλάξαι,
οὔτ' οὖν μιν μανίαι θοαὶ θαλάσσης
ζειούσης βύθιον ῥοαῖς ἑλικταῖς,
οὔτ' αὖ ῥησσομένων φλογὸς κρατήρων
Αἰτναίου πυρὸς αἰθαλῶδες ἄσθμα [3]),
ἢ πρηστὴρ ἀκίχητος ἄκρα βάλλειν
εἰωθὼς λοφόεντ' ἐπιθροήσει.
Τίπτ' οὖν οἱ μέλεοι τόσον τυράννους
ἀλκῆς μαινομένους ἄνευ ἄγανται;
εἰ γὰρ μήτε φοβῇ τι μήτ' αὖ ἔλπῃ,
ἐκλύσεις θράσος ἀλκιμωτάτοιο·
ὃς δ' ὢν δειλὸς ἐρᾷ τε καὶ δέδοικε,
δουλωθεὶς ἅτε μὴ φρονῶν βέβαια,
χ' ὡς ῥίψασπις ἑὸν τόπον προλείψας,
σειρήν, ᾗ γε δεθεὶς σύροιτο, τεύχει.

1) MSC. ποσίν. 2) λεύσων. 3) ἄσθμα.

Αἰσθάνῃ τῶν λεγομένων, φησί, καὶ πρὸς τὸν νοῦν ταῦτα διαπορθμεύεις, ἢ πρὸς λύραν ὄνος τελεῖς; Τί θρηνεῖς; Ἵνα τί δὲ δάκρυσι βρέχῃ; Ἐξαύδα, μὴ κεῦθε νόῳ [1]· τῷ γὰρ ἐκδεχομένῳ θεραπείαν παρ' ἰατροῦ εἰκότως ἔχει τὸ τραῦμα ἀνακαλύπτειν. Ἐν τούτοις ἐγὼ γεγονὼς ἐμαυτοῦ, καὶ τὰς τοῦ νοῦ συναθροίσας δυνάμεις· Ἆρα δέ, εἶπον, χρέος ἔτι διδασκαλίας; Οὐκ ἀποχρώντως δὲ καταφανής, ἀφ' ἑστίας φασίν, ἡ τῆς καθ' ἡμῶν μαινομένης τύχης ἀποτομία; Οὔτ' αὐτή σε μὴν ἡ τοῦ τόπου [2]) κατάστασις θορυβεῖ; Μῶν ἤδ' ἐστὶν ἡ βιβλιοθήκη, ἣν ἀσφαλεστάτην σαυτῇ καθέδραν ἐν τοῖς ἡμετέροις αὐτὴ ταμείοις ἐξέκρινας; ἐφ' ἧς πολλὰ δὴ καθίζουσα σὺν ἐμοὶ θείων τε πέρι καὶ ἀνθρωπίνων πραγμάτων ὡμίλεις; Τοιαύτη μὲν ἦν μοι σκευή, τοιοῦτον δὲ καὶ τὸ πρόσωπον, ἡνίκα σὺν σοὶ τὰ τῆς φύσεως διηρευνώμην ἀπόρρητα; ἡνίκα μοι τὰς τῶν ἀστέρων ὁδοὺς δι' ὀργάνων κατέγραφες; ἡνίκα τὰ ἡμέτερα ἤθη καὶ τὸν συμπάσης τῆς ζωῆς λόγον πρὸς παράδειγμα τῆς οὐρανίου τάξεως διετύπους; Ταῦτ' ἐπίχειρα κεκομίσμεθά σοι πειθαρχήσαντες. Καίτοι σὺ τήνδε τὴν γνώμην τῇ Πλάτωνος ἐκύρωσας γλώσσῃ [3]), εὐδαιμονεῖν τὰ δημόσια φαμένου, εἰ ταῦτ' ἢ φιλοσοφίας διαχειρίζοιεν ἀσκηταί, ἢ τοὺς αὐτῶν ἐπιτρόπους μελέτην τὸ φιλοσοφεῖν ποιεῖσθαι συμβαίνοι. Σὺ τῷ τοῦ αὐτοῦ ἀνδρὸς στόματι ταύτην αἰτίαν προὐργιαιτάτην εἶναι παρηγγυήσω, ἐφῷ τῶν δημοσίων πραγμάτων ἀντιλαμβάνεσθαι, ἵνα μὴ τοῖς ἀνοσιωτάτοις καὶ παλαμναιοτάτοις τῶν πολιτῶν αἱ τῶν πόλεων διοικήσεις ἐπιτραπεῖσαι φθόρον καὶ κῆρα τοῖς χρηστοῖς ἐπενέγκωσι. Ταύτῃ τοίνυν καὶ αὐτὸς τῇ γνώμῃ στοιχήσας, ὃ παρὰ σοῦ ἐσχολακῶς τε καὶ πεφροντικῶς ἐπαιδεύθην, εἰς ἔργον μεταγαγεῖν ἐπὶ δημοσίῳ διακονήματι ἔσχον ἐπιθυμίαν. Σὺ γάρ μοι καὶ ὁ ταῖς τῶν σοφῶν σε διανοίαις ἐγκατασπείρας θεὸς συνίστορες, ὡς ἕτερον οὐδὲν ἐπὶ τῆς ὑπατείας ἐθέμην διὰ σπουδῆς, ὅτι μὴ τὸ κοινῇ πᾶσι συμφέρον. Ἐντεῦθεν γάρ μοι πρὸς τοὺς μοχθηροὺς βαρεῖαί τε καὶ ἀπαραίτητοι συνέστησαν διαφοραί, καὶ ὃ τὸ τῆς συνειδήσεως ἐλεύθερον φιλεῖ, τὸ προσκρούειν ἀδεῶς τοῖς δυνατωτέροις ὑπὲρ τοῦ τὸ δίκαιον συντηρεῖν. Ποσάκις ἐγὼ Κονιγάστῳ ταῖς τῶν ἀδυνάτων

---

1) Hom. Il. I, 263. 2) MSC. τοῦτό που. 3) Plat. Rep. V, 18, p. 473 D.

ἐπεμβαίνοντι τύχαις ἀντικαταστὰς ἐμποδὼν[1]) ἐγενόμην; ποσάκις Τριγγίλλον, τὸν ἐπὶ τῆς βασιλικῆς τεταγμένον οἰκίας, ἀδικίας ἀρξάμενον, ἤδη δὲ καὶ πρὸς αὐτῷ ὄντα τῷ τέλει διεκρουσάμην; ποσάκις τῶν ταλαιπώρων, οὓς ἀπείροις κακώσεσιν ἡ τῶν βαρβάρων ἀνεπίπληκτος αἰεὶ πλεονεξία κατέτρυχεν, ὑπερήσπισα παρακινδυνεύσας; οὐ γάρ ἐστιν ὅτε μέ τις πρὸς τὸ ἄδικον ἐκ τοῦ δικαίου παρέτρεψε. Τὰς δὲ συμφορὰς τῶν πολιτευομένων, νῦν μὲν ἰδιωτικαῖς παρεκλογαῖς[2]), νῦν δὲ δημοσίοις εἰσπράξεσιν ἀνατρεπομένων, οὐχ ὡς ἑτέρως ἢ ὡς οἱ πάσχοντες ἤλγησα. Ἔτι γε μὴν κἀν τῷ καιρῷ τοῦ δεινοτάτου λιμοῦ, βαρείας ἐπιταχθείσης καὶ ἀφύκτου τῆς τοῦ σίτου ὠνῆς, καὶ τὸ θέμα[3]) μελλησάσης ἐπιτρίψειν Καμπανίας, εἰς μάχην ἐναντία τῷ τῶν Πραιτωρίων ἐπάρχῳ τοῦ κοινοῦ λυσιτελήσοντος χάριν κατέστην, τοῦ βασιλέως τοῦτο μὴ ἀγνοοῦντος, εἰς φιλονεικίαν ἐλήλυθα, καὶ τέλος, ἵνα μὴ τὸ τῆς ὠνῆς τοῦτον ἀποβαίη τὸν τρόπον, ὑπερέσχον τῇ γνώμῃ. Παυλῖνον ἄνδρα ὑπατικόν, οὗ τὴν οὐσίαν οἱ βασιλικοὶ κύνες ἤδη μὲν εἰς ἐπιθυμίαν εἶχον, ἤδη δὲ καὶ ἐν ἐλπίσιν ἦσαν λαφύξειν, ἐξ αὐτοῦ τοῦ χάσματος τῶν φαρύγγων αὐτῶν ἀνέσπασα. Ἵνα μὴ Ἀλβῖνος ὑπατικὸς ἀνὴρ εἰσαγγελθεὶς μέν, πρὶν δὲ χώραν σχεῖν ἀπολύσασθαι τὰς αἰτίας, καταψηφισθεὶς τὴν ἐσχάτην δῷ[4]) δίκην, ἐμαυτῷ Κυπριανὸν τὸν κατηγοροῦντα ἐξεπολέμωσα. Ἆρ᾽ οὐχ ἅλις περὶ ἐμὲ μεγίστας δοκῶ διαφορὰς ἐνεργῆσαι; Παρὰ γοῦν τοῖς λοιποῖς ἐχεγγυώτερος ὤφειλον εἶναι, ὃς τῇ τοῦ δικαίου φιλίᾳ οὐδὲν ἐμαυτῷ παρὰ τοῖς βασιλικοῖς, ᾧ μᾶλλον ἂν ἀσφαλέστερος ἦν, ἐταμιευσάμην. Τίσι[5]) δὲ καὶ διώκουσι κατεγνώσμεθα; Βασιλείῳ τῷ πρόσθεν τῆς βασιλικῆς ὑπηρεσίας ἀπωσθέντι, καὶ διὰ ταῦτα εἰς τὴν κατ᾽ ἐμοῦ γραφήν, ἐπειδήπερ ἀλλοτρίων χρημάτων ἕνεκεν εἶχεν ἀνάγκην, συνελαθέντι. Ὀπιλίωνα[6]) δὲ καὶ Γαυδέντιον δι᾽ ἀμυθήτους τε καὶ παλυειδεῖς σκαιωρίας φυγῇ ζημιωθῆναι τῆς βασιλικῆς ἐπικρίσεως διεγνωκυίας, κἀκείνων ὑπεξίστασθαι μὴ βουλομένων, πρὸς δὲ τὰ ἱερὰ ἕδη καταφυγόντων καὶ ταῦτα προϊσχομένων εἰς ἱκετείαν · τούτου τε γνωσθέντος τῷ βασιλεῖ, καὶ δόγ-

---

[1]) MSC. ἐκποδὼν. [2]) *exaction, rapine*; ce mot est nouveau. Le v. παρεκλέγειν est employé dans ce sens. [3]) *province, district*; terme byzantin. [4]) MSC. δῶ. [5]) τισὶ sans interr. J'ai suivi le texte latin d'Obbarius. 6) Ὀπιλίονα.

ματος ἐξενεχθέντος, εἰ μὴ εἴσω διωρισμένης ἡμέρας Ῥαβέννης τῆς πόλεως ἐκχωρήσειαν, γράμμασι τὰ μέτωπα στιχθέντας φυγαδευθῆναι. Τί ἄν τις παραβάλοι τῇ τοιᾷδε ὠμότητι; Ἐν ἐκείνῃ δὴ τῇ ἡμέρᾳ, τῶν αὐτῶν κατηγορησάντων, ἡ κατ᾽ ἐμοῦ αἰτία παραδοχῆς ἔτυχε. Τί οὖν; τοῦτον καρπὸν τὰ ἡμέτερα κομιοῦνται ἐπιτηδεύματα; οὕτω τοὺς κατηγόρους ἐδικαίωσε τὸ ἐρήμην ἁλῶναί με; οὕτως οὐδὲν τὴν τύχην ἀνέτρεψεν, εἰ καὶ μὴ τὸ ἀνυπαίτιον τοῦ τὴν αἰτίαν λαμβάνοντος, τῶν γοῦν αἰτιωμένων τὸ μηδενὸς ἄξιον; Εἰ μὲν οὖν καὶ ὧν ἐγκλημάτων κατηγορούμεθα τὸ κεφάλαιον ζητεῖς, τὴν σύγκλητον λεγόμεθα βούλεσθαι σώζεσθαι· εἰ δὲ καὶ τὸν τρόπον μαθεῖν ἀξιοῖς, εἶρξαι τὸν γράμματα φέροντα, ἃ τῆς συγκλήτου ἀσέβειαν τὴν εἰς βασιλέα κατηγόρει, αἰτίαν ἀποφερόμεθα. Τί τοίνυν, ὦ διδάσκαλε, κρίνεις; Ἔξαρνοι τῆς κατηγορίας ἐσόμεθα, ἵνα δὴ μὴ αἰσχύνην σοι προστρίψαιμεν; Πολλοῦ γε καὶ δεῖ. Ὅτι [1]) μὲν γὰρ καὶ ἠβουλήθην καὶ οὐκ ἔστιν ὅτε τοῦ θέλειν ἀφέξομαι, τοῦτό μοι ὁμολογηθήσεται· ἐκεῖνο δ᾽ ὡς ἐμποδὼν [2]) ἔστην τῷ τῆς συγκλήτου καταμηνύσοντι, οὐκ ἔτι. Ἢ γὰρ τὸ ἐπιτεθυμηκέναι με τοῦ στίφους ἐκείνου τῆς σωτηρίας ἀθέμιτον ὀνομάσω; Καίτοι τοῦτ᾽ ἐκεῖνοι τῷ σφετέρῳ ψηφίσματι ἀθέμιτον ἀπεφήναντο· ἀλλ᾽ ἡ μὲν μοχθηρία ἑαυτὴν ἀειδήποτε ψευδομένη, τὰς τῶν πραγμάτων φύσεις ἀμήχανός ἐστιν εἰς ἑτέρας μεταποιεῖν. Ἐγὼ δὲ οὔ μοι δοκῶ, κατὰ τὸ Σωκράτους ἐκείνου δόγμα, θεμιτὸν εἶναι ἢ τὴν ἀλήθειαν συγκαλύψαι ἢ συναινέσαι τῷ ψεύδει. Τοῦτο δέ, ὅτῳ ἂν εἴη τρόπῳ, τῇ σῇ τε καὶ τῇ τῶν σοφῶν κρίσει παρίημι· τά γε μὴν τούτῳ ἐπακολουθήσαντα καὶ ὡς ἔσχε τἀληθές, τοῦ μὴ λαθεῖν τοὺς εἰσέπειτα δύνασθαι, γραφῇ καὶ μνήμῃ παρέδωκα. Καὶ ταῦτα μὲν ταύτῃ· περὶ δέ γε τῶν πεπλασμένων γραμμάτων, οἷς ἠλπικέναι τὴν αὐτονομίαν ἐγκαλοῦμαι Ῥωμαίων, τί ποτε προσῆκον εἰπεῖν; ὧν εἰς φῶς ἂν αὐτίκα κεχωρήκει τὸ σόφισμα, εἰ παρόντων τῶν ἐλέγχων τῇ μαρτυρίᾳ χρῆσθαι ἐξῆν, ὃ μεγίστης ἐν πᾶσιν ἀμφισβητήμασι δυνάμεως ἔχεται. Καὶ γὰρ ποίαν ἐλευθερίας ἔτι ἐλπίδα οἷόν τε ποιεῖσθαι; Εἴθε μὲν οὖν ὤφελεν εἶναί τις· ἀπεκρινάμην γὰρ ἂν ταὐτὰ τῷ Κανίῳ [3]), ὃς ὑπὸ Γαΐου Καίσαρος τοῦ Γερμανικοῦ παιδός, ὡς ἂν συνειδὼς τὴν κατ᾽ αὐτοῦ συστᾶσαν συνωμοσίαν [4])

[1]) MSC. ὅ, τι. [2]) ἐκποδών. [3]) Καννίῳ. [4]) συνομοσίαν.

ἀνακρινόμενος· Εἰ ἐγὼ ᾔδειν, ἔφη, σὺ οὐκ ἂν ᾔδεις. Ἐπὶ τούτοις οὐχ οὕτω δή τι τὰς ἡμετέρας ἀπήμβλυνεν αἰσθήσεις ἡ ἀθυμία, ὥστε δεινὰ ποιεῖσθαι τῶν ἐκδεδιῃτημένων ἔκθεσμα καὶ ἀνοργίαστα κατὰ τῆς ἀρετῆς τολμώντων, ἀλλ᾽ οἷς προσεδόκησαν σύμφωνον ἐπαγόντων τὸ τέλος, πῶς οἶει διὰ θαύματος ἔχω; Τὸ μὲν γὰρ τὰ χείρω βούλεσθαι τάχ᾽ ἂν εἴη τοῦ ἡμετέρου ἀτελοῦς, τὸ δὲ καὶ δύνασθαι διαπράττεσθαι ὅ τι ἂν τῶν φαύλων ἕκαστος ἐναντία τῆς καλοκἀγαθίας διείληφε, καὶ ταῦτα θεοῦ ἐφορῶντος, τέρατι ἔοικεν. Ὅθεν καὶ οὐκ ἄπο δίκης τῶν σῶν τις οἰκείων ἐζήτησεν· Εἰ μὲν θεός ἐστι, φάμενος, πόθεν τὰ κακά; τὰ δὲ ἀγαθὰ πόθεν αὖθις, εἰ μὴ ἔστιν [1]; Ἀλλ᾽ εἰ καὶ τὰ μάλιστα δέδοται καὶ χώραν ἔχει τοῖς τοῦ πονηροῦ κόμματος οὖσι, καὶ τῶν τε χρηστῶν ἀνδρῶν καὶ συμπάσης τῆς γερουσίας ζητοῦσι τὸν ὄλεθρον τεθεληκέναι, καὶ ἡμᾶς, οὓς προκινδυνεύειν τουτων δὴ τῶν χρηστῶν ἀνδρῶν καὶ τῆς συγκλήτου βουλῆς ἑωράκεσαν, ἀπολέσθαι τε καὶ μακρὰ κλᾴειν· ἀλλ᾽ οὐχὶ ταὐτὸ καὶ πρὸς τῶν ἐν τέλει ὠφληκέναι [2]) δίκαιοι ἦμεν. Μέμνησαι γάρ, οἶμαι, ὡς μέλλοντά με λέξειν ἢ δράσειν τι ὡς ἐπίπαν αὐτὴ συμπαροῦσα διίθυνες. Μέμνησαι ὅτε κατὰ Βερώνην τὴν πόλιν, τοῦ βασιλέως τῆς πάντων ὁμοῦ καταστροφῆς ἐφιεμένου, κἀντεῦθεν τὸ κατ᾽ Ἀλβίνου ἐπιφερόμενον ἔγκλημα τῆς εἰς αὐτὸν ἀσεβείας πρὸς ἅπαν τὸ τῆς βουλῆς σύστημα, εἴ πως μετενέγκοι πειρωμένου, παραβαλλόμενος αὐτὸς οὐ περιεῖδον πᾶν τὸ ταύτης χρηστὸν κινδυνεῦον, ἀλλ᾽ ἐπήμυνα. Σύνοιδας δὲ ἀληθεύοντί μοι τὰ τοιαῦτα, καὶ οὐκ ἔστιν ὅτε σεμνολογουμένῃ δι᾽ οἰκεῖον ἔπαινον ἐμαυτοῦ· κολούει γὰρ τρόπον τινὰ τὸ τῆς συνειδήσεως ἀφανὲς τοῦ περιαυτολογοῦντος, ὁσάκις τις τὸ ἔργον ἐπιδεικνύμενος τὸν παρὰ τῆς φήμης μισθὸν δέχεται. Ἀλλ᾽ οὖν τὸ ἡμέτερον ἀνυπεύθυνον ὁρᾷς [3]) δήπου τίς ἔκβασις διεδέξατο· ἀντὶ γὰρ ἄθλων ἀληθινῆς ἀρετῆς, ψευδοῦς κακουργίας ὑφιστάμεθα δίκην· καίτοι τίνος ποτὲ σκαιωρήματος ὁμολογία καταφανὴς οὕτω τοὺς δικαστὰς ἔσχεν εἰς αὐστηρίαν συμπνεύσαντας, ὡς μηδένας σφῶν μήτε διανοίας ἀνθρωπίνης παραλογισμῷ, μήτε τῇ καταστάσει τῆς τύχης ἀδήλου πᾶσιν οὔσης θνητοῖς ἐπικλασθῆναι; Εἰ γὰρ βεβουλεῦσθαι κατη-

---

[1]) MSC. μὴ ἔστιν. [2]) ὀφληκέναι. [3]) ὁρᾷς.

γορίαν εἴχομεν τὰ ἱερὰ ἔδη πυρὶ δεδαπανηκέναι, εἰ τοὺς ἱερεῖς ἀνοσιωτάτῃ κατατεθυκέναι χειρί, εἰ πᾶσι τοῖς χρηστοῖς παρεσκευακέναι πανωλεθρίαν, ὅμως παρόντα καὶ ἤτοι ὁμολογήσαντα ἢ ἁλόντα ἡ τῶν δικαστῶν ψῆφος τὴν δίκην ἐπράξατο ἄν. Νῦν δὲ πεντακοσίαις ἔγγιστα χιλιάσιν ὀργυιῶν διεστῶτες καὶ μηδὲ ἀπολογησάμενοι, θάνατον καὶ πρόγραμμα παρὰ τῇ βουλῇ κατεγνώσμεθα. Ὦ μακάριοι, μηδεὶς ἐκείνων ποτὲ τῆς αὐτῆς ἁλῴη κατηγορίας. Ταύτης γε μὴν τῆς καταδίκης τὴν ἀξίωσιν καὶ τὸν ὄγκον καὶ αὐτοί γε οἱ γραψάμενοι ἔγνωσαν· ἀλλ' ἵνα τοῦτον ἐπιφορᾷ τινὸς μιαρίας ἐπηλυγάσωνται δι' ἀξιώματος ἔρωτα, βωμολοχίᾳ με τὴν συνείδησιν ἐψεύσαντο βεβηλῶσαι. Καίτοι σὺ ἐν ἡμῖν ἱδρυμένη τὰς τῶν ἐπικήρων πάντων ὀρέξεις πόῤῥω τῆς ἑστίας τοῦ ἡμετέρου νοὸς ἤλαυνες, καὶ πρὸ τῶν σῶν ὀφθαλμῶν τῇ βωμολοχίᾳ χώραν εἶναι θέμις οὐκ ἦν· ἐνεστάλαττες γὰρ ταῖς ἡμετέραις ἀκοαῖς τε καὶ διαλογισμοῖς ὁσημέραι τὸ Πυθαγόρειον ἐκεῖνο· ἕπου θεῷ. Καὶ οὐ σύμφωνον ἄρα ἦν ἐμοὶ τῶν οὐδενὸς ἀξίων πνευμάτων πολυπραγμονεῖν τὴν ἐπικουρίαν, ὃν εἰς τοσαύτην σὺ τὴν περιφάνειαν ἤγαγες, ἐφῷ θεῷ τελέσαι παρόμοιον. Καὶ χωρὶς δὲ τούτων ὁ καθαρὸς τῆς ἐμῆς οἰκίας θάλαμος, ὁ τῶν σεμνοτάτων ἑταίρων ὅμιλος, ὁ πάσῃ κεκοσμημένος ὁσιότητι κηδεστὴς καὶ δικαίως αὐτῇ τῇ τῶν καλῶν ἐργασίᾳ σεβάσμιος, πάσης ἡμᾶς ὑποψίας τῶν τοιούτων ἀπαλλάττουσιν ἐγκλημάτων. Ἀλλ' ὢ τῆς ἀτοπίας· ἐκείνοις μὲν περὶ σοῦ ἡ τοιαύτη κατηγορία πιστὴ νομισθήσεται, ἡμεῖς δὲ αὐτῷ τούτῳ τῶν ᾠκειωμένων τῇ μαγγανίᾳ [1]) δόξομεν γεγονέναι, [2]), ὅτι τῶν σῶν εἰσηγήσεων κατακορεῖς καὶ τοῖς σοῖς ἤθεσιν ἐμπαιδοτριβηθέντες τυγχάνομεν ὄντες. Οὕτως οὐκ ἀπέχρησέ μοι τὸ μηδὲν ἀπόνασθαι τῆς σῆς μεγαλοπρεπείας, ἀλλ' ἔδει καὶ σὲ μάλιστα τῷ ἐμῷ πταίσματι κακωθῆναι. Καὶ τοῦτο δὲ τοῖς ἐμοῖς κακοῖς κορωνὶς ἐπιτίθεται. Ἡ γὰρ τῶν πλείστων ὑπόληψις οὐ τὴν τῶν πραγμάτων ἀκολουθίαν καὶ φύσιν, τὰ δὲ τῆς τύχης ἐπισκοπεῖται συμπτώματα, κἀκεῖνα μόνα εὐβουλίας ἔχεσθαι κρίνει, οἷς ἂν ἡ τῆς τύχης δεξιότης προσμαρτυρῇ. Κἀντεῦθεν συμβαίνει πρωτίστην πάντων τὴν ἀμείνω

---

[1]) ou plutôt μαγγανείᾳ, machination, trame criminelle. Texte: *adfines maleficio.* [2]) le msc. ajoute οἷς, qui trouble le sens.

δόξαν τοὺς κακῶς [1]) πράσσοντας ἐξίστασθαι καὶ ἐγκαταλείπειν. Τίνα γὰρ νῦν ἀνὰ τὸν δῆμον θρυλλεῖται, τίνες δὲ πολυειδεῖς καὶ ἀξύμβατοι γνῶμαι, ὀκνῶ καὶ μόνον ἀναφέρειν εἰς μνήμην. Τοῦτο δ' ὅμως ἐρῶ, μεγίστην ἀχθηδόνα τῆς ἐναντίας καθεστηκέναι τύχης, ἡνίκα τοῖς ἐν κακῷ γενομένοις ἔγκλημά τι προσεπιγράφεται. καὶ ἄξιοί γε ὧν ὑπομένουσιν οὗτοι δοκοῦσι. Κἀγὼ μὲν πάντων ἡδέων ἀπελαθεὶς, παντὸς ἀξιώματος γυμνωθεὶς, τὴν ὑπόληψίν τε κηλιδωθεὶς, ἀντ' εὐποιΐας δίκας ὑπέχω. Δοκῶ δὲ βλέπειν ἐν ὀφθαλμοῖς τὰς ἀνοσίους τῶν ἀλιτηρίων οἰκίας ἡδονῆς καὶ χαρᾶς πληρουμένας, ἐξωλέστατον πάντα κεναῖς ἐγκλημάτων ῥᾳδιουργίαις τοῖς ἀγαθοῖς ἐπικείμενον, τοὺς χρηστοὺς καταπεπτωκότας τε καὶ κειμένους τῷ καταπεπλῆχθαι τοῦ ἡμετέρου κινδύνου τῷ ὑποδείγματι, τῶν ἀκολάστων ἕκαστον πρὸς μὲν τὸ τολμῆσαί τι ἐξάγιστον ἀνεπιπληξίᾳ, [2]) ὥστε καὶ τὸ πᾶν ἐξεργάσασθαι, [3]) καὶ βραβείοις ἐπιῤῥωννυμένους, τοὺς μηδὲν ὑπαίτιον ἑαυτοῖς συνειδότας, οὐχ ὅτι ἀσφαλείας, ἀλλὰ καὶ αὐτοῦ δὴ τοῦ ἀπολογήσασθαι ἠτυχηκότας παντάπασι. Τοιγαροῦν καὶ ἥδιστα ἂν ἀνακράγοιμι·

Ὦ πυρσοφόρου τέκτον [4]) Ὀλύμπου,
ὃς θώκοις μονίμοις ἱδρυμένος
πόλον ὀξείῃ δίνῃ [5]) ἑλίσσεις,
τηρεῖν τε νόμον τείρεα [6]) πείθεις,
ὥσθ' ὁτὲ μὲν πλησιφαὴ πασῶν [7])
ἀντίον ἀκτίνων ἠελίου,
ἄστρα καλύπτειν μείονα μήνην,
ὁτὲ δ' αὖθις σκιερὴν γιγνομένην
ἀγχόθι Φοίβου φῶς ἀποβάλλειν·
τὸν δὲ [8]) προτέρῃ νυκτὸς ἐν ὥρῃ
δυσμαῖς ἕσπερον ἐπιτέλλοντα,
ἡνία τρέψαντ' ἠθάδος [9]) ἀτραποῦ,
πρόδρομον εἶναι ἑωσφόρον ἡλίου.
Σὺ μὲν ὥρῃ φυλοῤῥόου χείματος
εἰς βραχὺ συνάγεις ἤματος [10]) αἴγλην·
σὺ δ', ἐπερχομένου θερινοῦ θάλπους,
εὐτροχάλους δρᾷς ἔμπαλιν νύκτας·
σή τ' ἰσχὺς δρόμον ἔτεος κιρνᾷ,
ὥσθ', ἅ γ' ἀφείλετο πνεῦμα βόρειον.

---

[1]) κακούς. [2]) ἀνεπιπληξία. [3]) ἐξειργάσασθαι. [4]) MSC. τέκτων. [5]) δείνῃ. [6]) τήρεα. [7]) πᾶσαν, inepte; apud Boethium est TOTIS OBVIA FLAMMIS. Weber. [8]) τόνδε. [9]) εἰθάδος. [10]) ἥματος.

πρηὺν ζέφυρον φύλλα κομίζειν,
ἃ δ' [1]) αὖ ἀρκτοῦρος σπέρματα δέρχθη [2])
βαθὺ τὸν σείριον αἴθειν λήϊον· [3])
κοὐδὲν τοῦ πρόσθε [4]) νόμου λυθὲν
σφετέρης ἔλλιπε [5]) τάξιος ἴθμα.
Πάντ' οὖν ἐπιτὰξ, δέσποτα, διέπων,
μοῦνα περιορᾷς μερόπων ἔργα
ἁρμονίῃσι χαλινοῦν ἀξίαις.
Τίπτε γὰρ ἡ σφαλερὴ τόσσας στρέφει
μοῖρα τροπὰς, καὶ τοὺς μὲν ἀθώους
ὥστε κακοὺς ποιναῖς μέτεισιν;
οἱ δ' ἐναγεῖς μετέωροι θώκοις
ἕζονται, καὶ τῶν ὁσίων δὴ
αὐχένας ἀδικως κάρτα πατοῦσιν
ἥ τε διαυγὴς ἀρετὴ κρύπτεται
σκοτίαις, ὁ δίκαιος δ' αὖ αἰτίαν
φεύγει ἄθεσμον·
κοὐδὲν βλάπτει τούςδ' ἐπιορκίη.
οὐδὲ δόλος ψεύδεϊ κεχρωσμένος·
ἀλλ' ὅταν ᾗ τῇ σφῶν χρῆσθαι βίᾳ,
οὓς συχνοὶ δῆμοι τρομέουσι
βασιλεῖς μεγάλους ῥίμφα καθεῖλον.
Ὦ δὴ μελέας ἐπιδ' ἐς γαίας,
ὅστις ποτὲ τοῖς οὖσιν ἐπιστατεῖς·
ἔργου γὰρ τόσσου μέρος οὐ μικρὸν
μέροπες συντριβόμεθα τύχης σάλῳ·
ϑυσσήεντα δὲ κύματ' ἐπίσχες,
ᾗ τε [6]) μέγαν πηδαλιουχεῖς πόλον
ἁρμονίῃ, καὶ γῆν στερεώσαις.

Ἐπεὶ δ' οὕτω ταῦτα τῷ ἀδιστάκτῳ τῆς λύπης καθυλάκτησα, ἐκείνη γαληνιῶντι τῷ προσώπῳ, μηδ' ὁπωσοῦν τοῖς ἐμοῖς θρήνοις διατραπεῖσα· Ἐγὼ μὲν ὡς θᾶττον σχετλιάζοντά σε καὶ δακρύοντα, φησιν, εἶδον, αὐτίκα μάλα κακοδαιμονοῦντα καὶ ἐξόριστον ἔγνων ὄντα· ἐπὶ πόσον δὲ μήκιστος ὁ σκορακισμὸς [7]) οὗτος ἦν, εἰ μὴ ὁ σὸς κατεμήνυσε λόγος, οὐκ εἶχον εἰδέναι. Σὺ δ' οὐ φυγὰς ἠλάθης οὕτω πορρωτάτω τῆς σῆς πατρίδος, ἀλλ' ἐπλανήθης· καὶ εἴ γε δῆτα σαυτὸν ἀπεωσμένον ἀξιοῖς ὑπειλῆφθαι, σὺ μάλιστα σαυτὸν ἐφυγάδευσας· ἐπ' οὐδενὸς γὰρ ἔκειτο ἐξουσίᾳ τοῦτ' ἐπὶ σοὶ γενέ-

---

[1]) MSC. ἄδ'. [2]) δέρχθῃ. [3]) δήλιον, Web. corr. [4]) πρόσθεν. [5]) ἔλιπε. [6]) ἥ τε ... ἁρμονίῃ. Texte: *quo cælum regis immensum, firma stabiles fœdere terras.* [7]) σκορρακισμός.

σθαι οὐδ' ἅπαξ. Καὶ γὰρ εἰ τῆς πατρίδος ἧς ἔφυς ἀναμιμνήσκῃ, οὐχ οἵα που τῶν Ἀθηναίων ἡ πόλις τοπάλαι δήμου δόγματι διοικεῖται, ἀλλ' εἷς κοίρανός ἐστιν, εἷς βασιλεύς,[1]) ὃς τῇ πολυπληθίᾳ τῶν πολιτῶν οὐχ ἧττον ἢ τῷ ἐξοστρακισμῷ χαίρει, οὗ ταῖς ἡνίαις ἄγεσθαι καὶ τοῖς νομίμοις πειθαρχεῖν τῆς ἀκροτάτης ἐλευθερίας ἐστί. Μή τι δὲ ἆρα καὶ τὸν ἀρχεγονώτατον τῆς σῆς πόλεως ἀγνοεῖς νόμον, ᾧ τοῦτο καθεστηκὸς ἦν μὴ ἐξεῖναι φεύγειν τὸν οἰκίας ἐν αὐτῇ κρηπῖδα καταβαλέσθαι ἑλόμενον; ὁ γὰρ τῷ τείχει καὶ τοῖς ὀχυρώμασιν αὐτῆς περιειλημμένος οὐδὲν δέος μὴ ὑπερορίαν αὐτῆς κατακριθείη· ὃς δὲ τοῦ βούλεσθαι ταύτην οἰκεῖν ἀφέξεται, ἐπίσης καὶ τοῦ ἄξιος εἶναι παύσεται. Τοιγαροῦν οὐχ οὕτω με τοῦ τόπου[2]) τοῦδε ἡ θέα, ὡς ἡ ὄψις ἡ σὴ ἐκπλήττει. Οὔτε μὴν μᾶλλον τοὺς ἐλέφαντί τε καὶ ψηφῖσιν ἠσκημένους τῆς σῆς βιβλιοθήκης τοίχους, ἢ τὴν τῆς σῆς διανοίας ἑστίαν ἀναζητῶ, ἐν ᾗ οὐ βίβλους, ἀλλ' αὐτὸ τοῦτο ὃ τὰς βίβλους ἐντίμους ποιεῖ, τὰς τῶν ἐμῶν βίβλων λέγω γνώμας, πρόσθεν καθίδρυσα. Σὺ δὴ τοίνυν περὶ μὲν τῆς σαυτοῦ ἐπὶ τῷ κοινῇ συμφέροντι χρείας ἀληθῆ μέν, ἀλλ' ἀντὶ πολλῶν τῶν κατορθωθέντων σοι βραχύτατα διεξῆλθες· περὶ δέ γε τῶν ἐπενεχθέντων σοι ἐγκλημάτων ἢ σεμνολογήματος ἢ ψευδολογήματος δῆλα πᾶσιν ἀνέμνησας· περὶ δὲ τῆς ἀπάτης τε καὶ ῥᾳδιουργίας τῶν κατηγόρων ὀρθῶς μὲν εἶπας, ἐπιτομώτατα δὲ τούτων προσαπτέον εἶναι ἡγήσω, τῷ ταῦτα πολλῷ βέλτιόν τε καὶ ἀφθονώτερον[3]) τοῖς τοῦ πάντα συνειδότος δήμου στόμασι διαθροεῖσθαι· ἐπετίμησάς τε ὡς ἔνι μάλιστα τῇ ἐπιβουλῇ τῆς ἀδίκου συγκλήτου· ἔτι τε περὶ τῆς ἡμετέρας ἤλγησας καταδίκης, καὶ τῆς ἀδικηθείσης σῆς ὑπολήψεως τὴν ζημίαν κατωλοφύρω· τούτοις ἑχομένως κατὰ τῆς τύχης ὑπὸ τῆς ἄγαν ἐξεκαύθης περιπαθείας. καὶ προσονειδίσας μὴ τοῖς ἔργοις τὰς ἀμοιβὰς ἐκ τοῦ ἴσου ζυγοστατεῖν, τελευτῶν τῇ τῆς Μούσης συγχρησάμενος ἰταμότητι[4]), εὐχὰς ἔθου τὴν τὸν οὐρανὸν ἐπιτροπεύουσαν εὐνομίαν, καὶ τὴν γῆν διιθύνειν. Ἀλλ' ἐπεὶ μυρίων διαθέσεων περιπέπτωκας ὄχλῳ, καί σε διαφόρως ὀδύνη, ὀργή, λύπη τε ἀντισπῶσιν, ὡς νῦν καταστάσεως ἔχεις, οὔπω σοι προσήκει τὰ δραστικώτερα τῶν φαρμάκων· ἀλλὰ

---

1) Hom. Il. II, 204. 2) τοῦτό που 3) ἀφθονότερον. 4) ἱταμότητι.

τοῖς ἠπιωτέροις χρησόμεθα, ὡς ἂν τὰ ἐξοιδήσαντά τε καὶ σκιῤῥωθέντα ταῖς τῶν θορύβων ἐπιῤῥοαῖς πραοτέραις ἐπαφαῖς μαλαχθείη, πρὸς τὸ δυνηθῆναι καὶ ἀνυστικωτέραν δέξασθαι θεραπείαν.

Ημος γ᾽ ἠελιου πυρὶ
ἄστρον καρκίνου αἴθεται,
ὃς μὴ δεχνυμένῃ [1]) σπόρον
πιστεύσει χθονὸς αὔλακι,
ψευσθεὶς ἐλπιδος οὑτοσὶ,
μαιέσθω βαλάνους δρυος.
Μὴ μὰν πορφύρεον νέμος
ζητήσῃς ἀγερεῖν ἴα,
εὖτ᾽ αἰνοῖς βορέαις πέδον
φρίσσει κάρτα κυκώμενον·
μηδ᾽ σὺ δίζεο χειρεσι
τρυγᾷν βότρυας, ἢν δέον
τέμνειν ἠρινὰ κλήματα·
ὀπώρῃ [2]) δὲ μαλισθ᾽ ἑὸν
Βάκχος σοι κομισει δόμα·
ὥρας τάξε γὰρ ἔμπεδον
ἔργοις ἐν σφετέροις θεος·
οὐδ᾽ ἃς αὐτὸς ἐχώρισε,
συγχεῖσθαι δέχεται τροπάς.
Ὡς [3]) πᾶν ὃ τροχαλῷ [4]) ποδὶ
λειπει σταθμια τάξιος,
οὐκ ἐσθλὴν λάχεν ἔκβασιν.

Ἆρα δὲ πρῶτον ἁπάντων ἀνέχῃ διὰ βραχέων ἐρωτημάτων με τῆς τοῦ σοῦ νοὸς ἐφάψασθαι διαθέσεως καὶ ποιήσασθαι πρόπειραν τοῦ τὸν τρόπον τῆς σῆς θεραπείας συνεῖναι; Ἀλλὰ σὺ, ἦν δ᾽ ἐγὼ, κατὰ σὴν γνώμην ἅττ᾽ ἂν θέλῃς, ὡς ἀποκριθησομένου, πυνθάνου. Ἡ δέ· Τουτονὶ τὸν κόσμον, εἶπε, πλημμελέσι διοικεῖσθαι καὶ αὐτομάτοις συμπτώμασιν οἴει, ἢ πιστεύεις ἐνεῖναί τινα οἰκονομίαν αὐτῷ λόγου; Παντάπασιν, ἔφην, οὐδεμιᾷ μηχανῇ τοιαύτης ἐκκρεμασθήσομαι δόξης, ὡς ὑπολαμβάνειν ἐξ αὐτομάτου καὶ τυχηρᾶς πλημμελείας τοῖς οὕτω βεβαίοις εἶναι τὴν κίνησιν. Οἶδα δὲ τῷ οἰκείῳ τεχνουργήματι τὸν δημιουργὸν ἐπιστατοῦντα θεόν. καὶ οὐκ ἄν ποτέ τις ἡμέρα ἐνσταίη, ἥ με τῆς τοιᾶσδε τοῦ ἀληθοῦς

---

[1]) conj. de Weber. MSC. δεχνυμένη. [2]) ὀπώρῃ. Weber ὀππώρῃ. [3]) ὡς. [4]) τροχῷ. Weber propose τροχαλῷ.

διαλήψεως ἀποστήσει. Οὕτως ἔχει, φησί· τοῦτο γάρ δή καί μικρῷ πρόσθεν ᾖσας. Αὐτό γε μήν τοῦτο τούς ἀνθρώπους τῆς θείας ἀπεσχοινισμένους τυγχάνειν προμηθείας ἐξετραγῴδησας· περί τῶν ἄλλων δέ πάντων, ὅτι μή τῆς ἐκ τοῦ κατά λόγον τυγχάνοιεν κυβερνήσεως, ἥκιστα τήν γνώμην ἐταλαντεύου. Παπαί· πάνυ μοι θαύματος ἐπέρχεται, πῶς ἐν οὕτως ὑγιεινῇ δόξῃ καθιδρυμένος φλαύρως ἔχεις. Φέρ' οὖν βαθύτερον τό νόσημα περιεργασώμεθα [1]. Καί δή ἐνδεῖν τι καταμανθάνω, ὅ τι δήποτε τοῦτό ἐστιν· ἀλλ' ἄγε [2] δῆτα φράσον μοι, ἐπεί ὅτι θεῷ τόδε τό πᾶν πρυτανεύεται οὐχ ἥκεις εἰς ἀμφισβήτησιν, κατανοεῖς καί τίσι τῶν συμπάντων χειρισμοῖς διεξάγεται; Οὐ πάνυ τοι προχείρως, ἦν δ' ἐγώ, τήν διάνοιαν συμβάλλω τῆς σῆς πεύσεως, οὐχ ὅπως δέ καί πρός τό προβληθέν ἀπόκρισιν δοῦναι οἷός τε εἰμί. Ἡ δέ· Μή γάρ, φησιν, ἐψεύσθην ἐνδεῖν τί σοι ἀφοφηναμένη, δι' οὗ ὡς διά χάρακος ὀχυροῦ μέν, ἀναπεπταμένου δέ, εἰς τήν σήν διάνοιαν τό τῆς συγχύσεως εἰσήλασε νόσημα; Ἀλλά φράσον δή μοι· μέμνησαι τί δήποτε τῶν ὄντων τό τέλος ἐστίν, ἤ ποῖ δῆτα τῆς φύσεως πάσης τό σκοπούμενον τείνει; Ἠκηκόειν, εἶπον, ἀλλά μοι τό τῆς μνήμης ἡ λύπη ἀπήμβλυνεν. Ἀλλά μήν [3], ἦ δ' ὅς οἶσθα πόθεν τά ὄντα προῆλθε; Γινώσκω, ἔφην, καί τόν θεόν ὑπολαβών εἶπον εἶναι. Ἆρα δή τῷ τοῦτο τρόπῳ δυνατόν ἀπαντῆσαι, ὥστε τῆς ἀρχῆς ἐγνωσμένης, τί ἄν εἴη τῶν ὄντων τό τέλος σε ἀγνοεῖν; Ὅμως τοῦτο τῶν συγχύσεων ἔθος· αὕτη ἡ ἰσχύς μετακινεῖν μέν τῆς οἰκείας στάσεως τόν ἄνθρωπον δύνασθαι, ἀνασπᾷν δέ καί πρός ἑαυτάς προθέλυμνον ἐκριζοῦν ἀπόρως ἔχειν. Καί μήν καί τόδε σε ἀποκρίνασθαι βούλομαι· ἄνθρωπον σεαυτόν ὄντα μέμνησαι; Καί πῶς γάρ οὐκ ἄν μιμνησκοίμην, ἐπῆγον. Τί δαί καί ὅ τι ποτέ ἐστιν ἄνθρωπος ἱκανός εἶ προφέρειν; Τοῦτο δή μου πυνθάνῃ, εἶπον, εἰ ἄρα εἰδέναι ἔχοιμι ἐμαυτόν λογικόν ζῶον, ὡς δέ καί θνητόν ὄντα; Οἶδα, καί τοῦτό με εἶναι διισχυρίζομαι. Κἀκείνη· Οὐδέν σεαυτόν ἕτερον ὄντα ἐπίστῃ; Οὐδέν. Ἤδη, φησί, γινώσκω ἑτέραν καί μεγίστην τοῦ σοῦ νοσήματος τήν αἰτίαν· τί γάρ αὐτός εἶ ἐπαύσω ἐπίστασθαι. Ταύτῃ τοι καί ἀναντιλέκτως

---

1) MSC. περιειργασώμεθα. 2) ἄ γε. 3) ἀλλαμήν.

ἢ τὸν τῆς νόσου λόγον ἢ ὁδὸν εἰς τὸ τὴν προτέραν ἀνασώσασθαι ὑγιείαν ἐφεῦρον. Ὅτι μὲν γὰρ τῇ σεαυτοῦ λήθῃ συνεταράχθης, φυγάδα σαυτὸν καὶ τῶν οἰκείων ἐστερημένον ἀγαθῶν εἶναι σὺν ὀδύνῃ διεμνημόνευσας· ὅτι δὲ τίποτέ ἐστι τῶν ὄντων τὸ τέλος ἀγνοεῖς, τοὺς πονηροὺς καὶ ἀθέσμους τῶν ἀνθρώπων δυνατοὺς καὶ εὐδαίμονας οἴει· ὅτι δ' αὖ πάλαι τίσιν ἡνίαις ὁ σύμπας διϊθύνεται κόσμος τὴν μνήμην ἀπέβαλες, ταύτας δὴ τὰς συμπτωμάτων φορὰς ἐρήμους τοῦ διοικοῦντος ὥσπερ ἐν σάλῳ τεκμαίρῃ φέρεσθαι· αἳ μέγισται δὴ αἰτίαι [1]), οὐχ ὅτι πρὸς νόσον, ἀλλ' ἤδη καὶ θάνατον τυγχάνουσιν οὖσαι. Ἀλλὰ τῷ τῆς ὑγιείας δοτῆρι χάρις, ὅτι μήπω σε τῆς φύσεως ἐπίπαν μετέστησεν. Ἔχομεν δὲ μεγίστην τῆς σῆς εὐεξίας ἀρχήν, τὴν ἀληθινὴν περὶ τῆς τοῦ κόσμου κυβερνήσεως δόξαν, ὅτι μὴ τύχης ἐμπληξίᾳ ταύτην, τῷ δὲ θείῳ λόγῳ κατήκοον εἶναι φρονεῖς. Μηδὲ τοίνυν ἀγωνία· ἤδη γάρ σοι ἐκ τοῦδε τοῦ σμικροῦ σπινθῆρος τὸ ζωτικὸν ἀναλάμψει θερμόν. Ἀλλ' ἐπείπερ οὔπω τῶν ἰσχυροτέρων φαρμάκων καιρός, φύσις δὲ τοῦτο ψυχῆς, ὁσάκις ἂν τὰς ἀληθεῖς ἀποδύηται, τὰς ψευδεῖς ἀμπίσχεσθαι δόξας, ἐξ ὧν ἡ τῆς συγχύσεως ἀναδοθεῖσα ὁμίχλη τὸν ἀληθέστατον ἐκείνης ὀφθαλμὸν συνθολοῖ, ταύτην ἐπὶ ποσὸν ἠπιωτέραις [2]) τε καὶ μετριωτέραις θεραπείαις λεπτῦναι πειράσομαι, ὡς ἄν, διασκεδασθέντος τοῦ ζόφου τῶν ἐπαγωγῶν ἐπιθυμιῶν, τὴν λαμπρότητα τοῦ ἀληθινοῦ φωτὸς σχοίης ἂν ἐπιγνῶναι.

Εἰ νεφέεσσι
κρύπτεται, οὐδὲν
πεμπέμεν ἴσχει
τείρεα φέγγος·
εἰ νότος αἰνὸς
πόντον ὀρίνων
θάλπει μίσγει
τὰ πρὶν ἀγανὰ [3])
ἴκελον οἶδμα
ἠόος αἴγλῃ, [4])
αἶψα παλαχθὲν
ἰλύϊ, ὄψει
ἀντικάθηται·

---

[1]) MSC. ἃ μεγίστας δὴ αἰτίας.. (ἀλλ' est omis). Cette phrase et la précédente, mal coupées, mal ponctuées, sont inintelligibles dans le manuscrit. [2]) ἠπιωτέραις. [3]) ἀγανά. [4]) αἴγλη.

καὶ δ' ὅπερ εἶσιν
οὔρεσι μακροῖς
μόρμυρον ὕδωρ,
ὄμμ' ἐπέδησε
ῥωγάδος αὐτῷ
λυομένοιο [1]).
Καὶ σὺ δ' εἰ [2]) αἱρῇ
ὄμματι λαμπρῷ
τἀτρεκὲς ἀθρεῖν,
ἴθματι δ' εὐθεῖ
ἀτραπὸν εὑρεῖν,
ἡδονὰς ὦσον,
καὶ φόβον ὦσον,
ἐλπὶς ἀπέστω
δεινά τε λύπης·
νοῦς δνοφερὸς γὰρ
καὶ φιμόληπτος [3]),
οὗ τάδε ἄρχει.

---

[1]) MSC. λυομένης. corr. de Weber. [2]) εἰ manque. [3]) *vinctus frenis* (baillonné), mot nouveau.

# ΒΙΒΛΙΟΝ Β.

Μετὰ δὲ ταῦτα πρὸς βραχὺ μὲν ἡσύχασεν· ἐπεὶ δέ με προσέχοντα τὸν νοῦν ἠρέμα καὶ σιωπῇ κατεφώρασεν, οὕτως εἶπεν ἀναλαβοῦσα· Εἰ καθάπαξ ἐγὼ τῆς σῆς νόσου τὴν αἰτίαν ἔγνων καὶ τὴν διάθεσιν, τῷ τῆς πρόσθεν τύχης ἱμέρῳ τε καὶ ἐφέσει συντήκῃ [1])· αὕτη τὴν τῆς σῆς διανοίας κατάστασιν ἐπὶ τοσόνδε, ὡς αὐτὸς σὺ κατὰ σαυτὸν εἰκάζεις, μεθαρμοσθεῖσά γε ἀνέτρεψεν. Οἶδα τοῦ τέρατος ἐκείνου τὰ πολύμορφα φύκη, καὶ μέχρι τίνος, οἷς ἐμπαίζειν πειρᾶται, οἰκειότητα προσηνεστάτην ἐνδείκνυται, ἡνίκα λύπαις ἀνυποίστοις ταράττει οὓς ἐγκαταλείπει παρὰ τὸ δοκηθέν. Ἧς εἰ τὴν φύσιν, τοὺς τρόπους, τὴν ποιότητά τε ἀναλογίσῃ, οὐδὲν ἔτ᾽ ἐσχηκὼς καλὸν ἐν αὐτῇ οὔτ᾽ ἀποβεβληκὼς εἴσῃ. Ἀλλ᾽ οἶμαι μὴ πάνυ τί με ταλαιπωρήσειν ταῦτά σοι πρὸς μνήμην ἐπανασώσασθαι· καὶ γὰρ εἰώθεις παροῦσάν τε καὶ ὑποσαίνουσαν ἀνδρικῶς ἐπεξιέναι τοῖς ῥήμασι, καὶ ταῖς ἐκ τῶν ἡμετέρων ἀδύτων προφερομέναις γνώμαις ταύτῃ πολὺς ἐπικεῖσθαι. Πλὴν πᾶσα πάντως ἀθρόα μεταβολὴ οὐκ ἄνευ τινὸς ὡσανεὶ συγχύσεως συμβαίνει τῶν λογισμῶν· τοῦτον γὰρ τὸν τρόπον συνεκύρησε καὶ σὲ πρὸς ὀλίγον μετακινηθῆναι τοῦ καθεστῶτος. Ἀλλ᾽ ὥρα δὴ προσενέγκασθαί σε καὶ ἀπογεύσασθαί τινος προσηνοῦς καὶ ἡδέος, ὃ πρὸς τὰ ἐνδοτέρω χωρῆσαν τοῖς αὐστηροτέροις πόμασιν ὁδὸν ἂν ποιή-

[1]) MSC. συντύκῃ.

σαι [1]). Παρίτω τοιγαροῦν τῆς ῥητορικῆς γλυκύτητος ἡ πειθώ, ἥ τότε δὴ μόνον ἐπ' εὐθείας οἶδε βαδίζειν, ἡνίκα τῶν ἡμετέρων διατάξεων οὐκ ἀφίσταται. Σὺν ταύτῃ δὲ καὶ ἡ τοῦ ἡμετέρου θαλάμου ὑπηρέτις μουσικὴ νῦν μὲν κουφότερα μέλη, νῦν δὲ βαρύτερα ὑπᾳδέτω. Τί τοίνυν ἐστίν, ὦ ἄνθρωπε, ὅ σε πρὸς ὀλοφυρμὸν καὶ θρῆνον ἐνίησι; Καινόν τι πείθομαί σε καὶ οὐκ εἰθισμένον ἰδεῖν. Σὺ τὴν τύχην οἴει περὶ σὲ μετηλλάχθαι, σφάλλῃ δέ. Οὗτος ἀειδήποτε ταύτης ὁ τρόπος, αὕτη ἡ φύσις· ἐτήρησε καὶ περὶ σὲ τὴν ἴδιον [2]) ἐν τῷ μεταβάλλειν μάλιστα σταθηρότητα [3]). Τοιαύτη καὶ ξωπεύουσα καὶ ταῖς ἀβρότησι σαίνουσα τῆς πεπλασμένης εὐδαιμονίας. Κατέλαβες τὰ ἀμφίβολα τῆς τυφλῆς δαίμονος πρόσωπα· ἡ ἔτι ἄλλοις ἑαυτὴν συγκαλύπτουσα, σοὶ παντελῶς ὅλη κεχρημάτικε [4]) δήλη. Εἰ ταῦτ' ἐπαινεῖς, συμφέρου καὶ τοῖς ἐκείνης τρόποις, μηδὲ δυσχέραινε· εἰ δὲ τὸ ἄπιστον καταπλήττῃ καὶ ὀρρωδεῖς, ἐν ὀλιγωρίᾳ ταύτην ποιοῦ, καὶ διωθοῦ τὰ ἀλλότριά σοι προσπαίζουσαν· ὃ γὰρ νῦν αἴτιόν σοι τοσαύτης γέγονε δυσθυμίας, αὐτὸ τοῦτο γαλήνης ἂν καὶ ἀταραξίας ἐσχήκει γενέσθαι. Καὶ γὰρ ἐκείνη κατέλιπέ σε, ἐφ' ᾗ, ὥστε μὴ καταλιπεῖν, οὐδεὶς οὐδέποτε οἷός τ' ἂν γένοιτο ἑαυτὸν ἀσφαλίσασθαι. Ἀλλὰ σύ γε πολλοῦ ἀξίαν ἡγῇ τὴν οἰχησομένην εὐδαιμονίαν, καὶ ἀσπαστή σοι ἐστὶν ἡ παροῦσα τύχη, οὔτε μένειν πιστευομένη, κἂν τῷ ἀποχωρεῖν ἄλγος ἐπάξουσα. Ὥστ' εἰ μήτε μηδεμιᾷ μηχανῇ φύσιν ἔσχε κατέχεσθαι, καὶ ταλαιπώρως καθίστησι φεύγουσα, τί ἕτερον πέφυκεν ἡ δραπέτις ὅτι μὴ προοίμιόν τι τῆς μελλούσης ταλαιπωρίας; Οὐδὲ γὰρ οὐδὲ τὸ πρὸ τῶν ὀφθαλμῶν κείμενον καταμαθεῖν ἐξαρκέσομεν· ἀλλ' ἡ φρόνησις καὶ τὰς τῶν πραγμάτων ἐκβάσεις οἶδε στοχάζεσθαι· ἡ γὰρ ἀλλοπρόσαλλος τῆς τύχης μετάπτωσις οὔτε φοβερὰς τὰς αὐτῆς ἀπειλάς, οὔτε τὰς φιλοφροσύνας εὐκταίας εἶναι ποιεῖ. Πρὸς τούτοις εὐψύχως ὑπομένειν χρεὼν ὅ τι περ ἐντὸς τῆς ἅλω τελεῖται τῆς τύχης, ἅπαξ τῷ ζυγῷ ταύτης τὸν τράχηλον ὑποκλίναντα. Ὥστε εἰ τοῦ μένειν τε καὶ ἀποχωρεῖν νόμους ἐθελήσεις ταύτῃ τιθέναι, ἣν σὺ σαυτῷ ἑκὼν εἶναι δεσπότιν ἐπελέξω, οὐκ ἂν

---

[1]) MSC. ποιῆσαι. [2]) rare pour ἰδίαν. [3]) MSC. σταθηρότατα. [4]) sens moderne pour ὑπάρχειν.

ὑβριστὴς καὶ ἄδικος ἔσοιο, καὶ τῷ μὴ καρτερικὸς εἶναι τὴν μοῖραν ἂν παροξύνειας, ἣν συγχέαι οὐ δυνατὸς ἔσῃ; Εἰ τοῖς ἀνέμοις τῶν ἱστίων παραχωρήσαις, οὐχ ὅπῃ τὸ σὸν τείνει βούλημα,, ἀλλ' οἷ ἂν κατασπέρχοι τὸ πνεῦμα κομισθήσῃ. Εἰ ταῖς αὔλαξι πιστεύσαις τὰ σπέρματα, τοῖς εὐφορίαν τε καὶ ἀφορίαν γεννῶσιν ἔτεσι διαιτήσεις. Τῇ τύχῃ ὡς δεσποίνῃ σαυτὸν ἐπιτροπεύεσθαι ἐνεχείρισας· εἰκὸς ἄρα καὶ τοῖς αὐτῆς ἤθεσιν ὑποκύπτειν. Σὺ δὲ τοῦ στρεφομένου τροχοῦ τὴν φορὰν ἀνακόπτειν ἐπιχειρεῖς; καίτοι, ὦ πάντων ἀνθρώπων ἀνοητότατε, εἰ μένειν ἄρξεται, τοῦ εἶναι τύχη ἐξ ἅπαντος ἀποστήσεται τρόπου.

Ἣδ' ἀνατρέπουσα χειρὶ κομπηρᾷ τάξιν,
κυκωμένου δίκην τε [1]) μαιμῶσ' Εὐρίπου,
πρήνιξ' ἀνοικτὶ [2]) κοιράνους φοβεροὺς πρόσθεν,
τοῦ κειμένου δ' ὕψωσεν ἡ φέναξ κόρσην·
ἤδ' οὐκ ἐπιστρέφετ' οὐδ' ἀκούει δυστήνων
θρήνους, ἐπεγγελᾷ [3]) δὲ δεινοῖς οἷς δρᾶσεν [4])·
ὡς [5]) ἥδε παίζει, τὼς ἑὴν δείκνυσ' ἀλκήν,
ὑπέρμεγα σφέτερόν [6]) τε φαίνει τέρας, ἣν τις
μιᾷ φανῇ δείλαιος ὄλβιός θ' ὥρᾳ.

Βουλοίμην δ' ἂν καὶ ῥήμασιν αὐτῆς τῆς τύχης βραχέ' ἄττα διαλεχθῆναί σοι· σὺ δ' εἰ τὸ δίκαιον ἀπαιτεῖ πρόσχες τοῖς ῥηθησομένοις τὸν νοῦν. Τί με, ὦ οὗτος, καθεκάστην μεμφόμενος ψήφῳ καταδίκης ὑπάγεις; τίνα σε ἀδικίαν εἰργασάμεθα; τίνα σε τῶν σῶν ἀγαθῶν ἀφειλόμεθα; Παρ' ᾧ βούλει δικαστῇ τῆς τῶν χρημάτων καὶ ἀξιωμάτων ἕνεκεν κτήσεως πρὸς ἐμὲ δικαιολογήθητι· κἂν οὑτινοσοῦν τῶν ἀνθρώπων ἴδιόν τι τούτων ἀποδείξεις τυγχάνειν, αὐτίκα μάλα σὰ γεγονέναι ἅπερ ἀναζητεῖς αὐτόθεν ὁμολογήσω σοι. Ἔγωγε, ὅπως τάχιστά σε τῆς μητρικῆς νηδύος ἡ φύσις προήνεγκε, γυμνὸν καὶ πάντων τῶν ὄντων ἀνειλόμην ἀκτήμονα, καὶ τῇ ἐμαυτῆς περιουσίᾳ ἔθαλπόν τε καὶ περιεῖπον, καὶ ὃ νῦν οὐχ ὑπομενετέα σοι τὰ ἐμὰ δοκεῖν εἶναι ποιεῖ, οἴκτῳ ἐπικλασθεῖσα εὐμενέστερον ἐθρεψάμην, πάντων τε τῶν ὑπὸ τὴν ἐμαυτῆς ἐξουσίαν

---

[1]) τε manque dans le MSC; ajouté d'après Weber. [2]) vox ἀνοικτί, *sine misericordia*, deest lexicis; at legitur apud Zonaram p. 226 et Phavorinum. Weber. [3]) MSC. ἐπαγγελᾷ. [4]) δράσεν. [5]) ὥς. [6]) σφετέροις.

πιπτόντων καὶ δαψιλείᾳ καὶ λαμπρότητι περιέβαλον. Νῦν μοι εὐδοκούμενόν ἐστιν ἀναστεῖλαι τὴν δεξιάν· ὀφείλεις χάριν ὡς τοῖς ἀλλοτρίοις χρησάμενος, οὐκ ἔχεις χώραν ἀγανακτήσεως ὡς δῆθεν πάντῃ τὰ σαυτοῦ ἀποβεβληκώς. Τί τοίνυν στενάζεις; οὐδεμία σοι πρὸς ἡμῶν ἐπενήνεκται δυναστεία [1]). Τὰ χρήματα, αἱ τιμαὶ καὶ τὰ λοιπὰ τῶν τοιούτων τῆς ἡμετέρας ἐξουσίας εἰσί· τὴν δέσποιναν ἐπιγινώσκουσιν αἱ θεράπαιναι, σὺν ἐμοὶ παραγίνονται, ἐμοί τε συναπαίρουσιν ἀπιούσῃ. Θαῤῥούντως ἀποφηναίμην ἄν, εἰ σὰ ἦν ἅ γε ἀποκτησάμενος ἄχθῃ, κατ' οὐδένα τρόπον ἂν αὐτῶν ἐκπεπτώκεις, ἢ ἔγωγε μονωτάτη τὸ ἀνῆκον ἐμαυτῇ τελεῖν κωλυθήσομαι. Ἔξεστι τῷ οὐρανῷ περιαυγεστάτας παράγειν ἡμέρας, καὶ ταύτας αὖθις ἀμαυροτέραις νυξὶν ἀφανίζειν· ἔξεστι τῷ ἐνιαυτῷ τὸ τῆς γῆς πρόσωπον ὁτὲ μὲν ἄνθεσί τε καὶ καρποῖς ὡραΐζειν , ὁτὲ δὲ ψύχει καὶ ὄμβρων ἐπικλύσεσι κηλιδοῦν· ἐξὸν τῇ θαλάσσῃ νῦν μὲν ἐστορεσμένοις τοῖς ὕδασι τιθασσὴν ὁρᾶσθαι, νῦν δὲ καταιγῖσι καὶ κύμασιν ἐκτραχύνεσθαι· ἡμᾶς δὲ πρὸς στάσιν τὴν τοῖς ἡμετέροις ἤθεσιν ἀλλοτριωτάτην ἡ τῶν ἀνθρώπων ἄπληστος τοῦ τὸ πλέον ἔχειν ἐπιθυμία περιβαλοῦσα δεσμοῖς ἀντιπεριστήσει; Αὕτη ἡ ἡμετέρα δύναμις, ταύτην συνεχῆ τὴν παιδιὰν παίζομεν, τροχὸν εὐπεριαγώγῳ κυλίσματι στρέφομεν, τὰ ταπεινὰ τοῖς ὑψηλοῖς, τὰ ὑψηλὰ τοῖς ταπεινοῖς ἐναλλάσσειν φιλοῦμεν. Ἐπίβαινε, εἰ δοκεῖ. πλὴν ἐπὶ τοιαύταις συνθήκαις, ὡς ἡνίκα τὸ σύνθημα τοῦ ἡμετέρου ἀθύρματος ἀπαιτεῖ, μὴ ἀδικίαν τὸ κατελθεῖν οἰηθῆναί σε. Ἢ τοὺς ἐμοὺς ἠγνόεις σὺ τρόπους; Οὐκ ᾔδεις τὸν βασιλέα Λυδῶν Κροῖσον, μικρὸν μὲν ἔμπροσθεν φοβερὸν ὄντα τῷ Κύρῳ, εἶτ' ἐξαίφνης ἐλεεινὸν πυρᾷ πρὸς τὸ καυθῆναι παραδοθέντα, ὑετῷ δὲ οὐρανόθεν καταῤῥυέντι διασωθέντα; Παρίησί σε Παῦλος, ὅς, τοῦ βασιλέως ἑαλωκότος Περσέως ὑπ' αὐτοῦ, ἐπὶ τῇ τοσαύτῃ τοῦ ἀνδρὸς δυσπραγίᾳ μεστὰ συμπαθείας ἀφῆκε δάκρυα; Τί τῶν τραγῳδιῶν ὁ θροῦς ἕτερον ὀλοφύρεται, ὅτι μὴ τὴν τύχην ἀκρίτῳ ῥύμῃ τὰς εὐδαίμονας ἀνατρέπουσαν βασιλείας; Οὐ μειράκιον ὢν ἔτι δύο πίθους, τὸν μὲν ἕνα κακῶν, τὸν δ' ἕτερον ἀγαθῶν, ἐν τῷ τοῦ Διὸς οἰκήματι

1) sens moderne pour βία. Texte: ***nulla tibi a nobis est adlata violentia***.

κεῖσθαι μεμάθηκας [1]); Τί μοι μέμφῃ, εἰ ἀφθονώτερον τῆς μερίδος μετέσχες τῶν ἀγαθῶν; Τί δεινόν, εἰ ἀπὸ σοῦ πᾶσα οὐκ ἀνεχώρησα; Τί φορτικόν, εἰ αὐτὸ τοῦτο τὸ ἡμέτερον εὐμετάβολον ἐπιεικής σοι καθέστηκε πρόφασις τοῦ προσδοκᾷν τὰ βελτίω; Ὅμως μὴ συντήκειν θέλε τὸν λογισμόν, μηδ' ἐντὸς τῆς κοινῆς τῶν ἀνθρώπων καθιδρυμένος ἀρχῆς ἰδιάζουσι ζῆν νομίμοις ἐφίεσο.

Ἦν, ὅσσην ταχιναῖς κιννύμενος πνοαῖς
πόντος ψάμμον ἑλίσσει,
ἢ ὅσσ' ἀστροφόροις [2]) νυξὶ πεφασμένα
ὑψοῦ τείρεα λάμπει,
τοσσόνδ' [3]) εὐπορίη ὄλβον ἐπεγχέῃ
πλήρη [4]) χερσὶ κεραίῃ,
οὐ θνητῶν παρὰ τοῦτ' ἔθνος ὀϊζυρὰν
θρηνεῖν παύσεται αἶσαν.
Κἢν εὐχὰς δὲ δέχητ' ἀσπασίως θεός,
πολύχουν χρυσὸν ὀπάζων,
καὶ τιμαῖς ἀκορέστους στέφῃ, οὐδεὲν
τὰ κτηθέντα δοκοῦσιν·
ἀλλ' οὖν ταῦτα λαφύσσουσ' [5]) ἡ ἀπληστία,
ἕτερ' αὖ χάσματ' ἀνοίγει.
Τίς δὲ κημὸς ὄρῳ τὴν ἐπιθυμίαν
σπέρχουσάν γε καθέξει,
εὖτ', εἰ δῶρα τύχης μᾶλλον ἐπιῤῥέοι,
ἔρος αὔξει πλέον ὄλβου.
Οὐκ ἂν πλούσιος εἴη ὃς ἀεὶ στένων
πτωχόν γ' οἴεται αὐτόν.

Εἰ τούτοις τοίνυν ὑπὲρ ἑαυτῆς ἡ τύχη σοι διαλέξεται, οὐδ' ἂν χανεῖν σχοίης παντάπασιν ὡς ἀπαντῆσαι πρὸς τὰ τοιαῦτα. Εἰ δ' ἄρα ἔστι σοί τι ᾧ τῇ σαυτοῦ μεμψιμοιρίᾳ ἐπαμυνεῖς, ἔξεστιν εἰς μέσον προφέρειν, δώσομεν τόπον τοῦ λέγειν. Ἐν τούτοις ἐγώ· Περικαλλέστατα [6]) μὲν ταῦτ', ἔφην, καὶ κατηντλημένα ῥητορικῆς τε καὶ μουσικῆς γλυκύτητος μέλιτι· τότε δὲ μόνον, ὅταν εἰς ἀκοὴν ἔρχωνται, τέρπουσιν. Ἀλλὰ τοῖς δυστυχοῦσι βαθυτέρα ἡ τῶν ἀλγεινῶν αἴσθησις γίνεται· τῷ τοι καὶ τοῖς ὠσὶν ἐνηχεῖν αὐτῶν παυσαμένων, αὖθις τὸ ἐγκαθήμενον ἄλγος βαπτίζει μοι τὴν διάνοιαν.

---

[1]) Hom. Il. XXIV, 527. [2]) MSC. ἀστραφόροις. [3]) τόσσον δ'. [4]) πλήρει. [5]) φυλάσσουσ'; j'ai suivi la leçon de Weber. Texte: *sed quæsita vorans sæva rapacitas.* [6]) περικαλέστατα.

Κἀκείνη· Ἀληθῆ λέγεις, φησί· ταῦτα γὰρ οὔπω τοῦ σοῦ νοσήματος ἰάματα πέφυκεν, ἀλλὰ τῆς ἔτι πρὸς θεραπείαν ἀντιτύπου ὀδύνης ἐπιμέλειαί τινες καὶ μαλάγματα· ἃ δὲ εἰς βάθος διίξονται, ἐπειδὰν παρείκῃ καιρὸς, ἐπιθήσω. Τό γε νῦν οὖν ἔχον μὴ δυσπραγοῦντα σαυτὸν ὑπολάμβανε· μὴ γὰρ τοῦ ἀριθμοῦ τῆς καταστάσεώς τε τῆς σῆς εὐδαιμονίας παντελῶς ἐξελάθου; Σιωπῶ ὅτι πατρὸς γενόμενον ἔρημον μεγίστων ἀνδρῶν κηδεμονία σε προσελάβετο, εἰς κῆδός τε τῶν προὐχόντων [1]) τῆς πόλεως αἱρεθεὶς, ὃ δὴ τιμιώτατον ἀγχιστείας εἶδός ἐστι, πρότερον ποθεινὸς ἢ ἄγχιστα γένους τούτοις ἤρξω τυγχάνειν. Τίς οὐ μακαριώτατόν σε σὺν τῇ τοσαύτῃ τῶν κηδεστῶν λαμπρότητι, τῆς συνοίκου τῇ σωφροσύνῃ, τῇ τε ἀστειότητι τῆς τῶν ἀῤῥένων γονῆς ἀνεκήρυξε; Παρίημι (καὶ γὰρ προσῆκε παραδραμεῖν τὰ κοινὰ) τὰς ἐπιτραπείσας σοι ἐν νεότητι, καίπερ γέρουσιν ἀπειρημένας, ἀξίας· πρὸς δὲ τὴν κατ' ἰδίαν κορωνίδα [2]) τῆς σῆς εὐδαιμονίας ἐλθεῖν ὀριγνῶμαι. Ἆρ' εἴ τις τῶν ἀνθρωπίνων πραγμάτων ὠφέλεια ἔχοι τινὰ μακαριότητος ὄγκον, δυνατὸν τὴν τῆς τοιαύτης περιφανείας μνήμην ὁτῳδηποτοῦν τῶν συγκυρούντων κακῶν ἄχθει ἀπολειφθῆναι; Σὺ δ' ἄρα εἶδες ἄμφω τοὺς υἱέας ὑπάτους ὁμοῦ οἴκαδε παραπεμπομένους τῷ τε τῆς συγκλήτου συστήματι καὶ τῇ τοῦ δήμου εὐνοίᾳ· τῶν αὐτῶν ἐν τοῖς ἀρχείοις ἐπὶ δίφρων καθημένων, σὺ τὰ τοῦ βασιλέως ἐγκώμια ἐῤῥητόρευσας, καὶ ποριμότητος ἐντεῦθεν καὶ εὐγλωττίας δόξαν ἀπῆλθες ἀπενεγκάμενος· κἀν τῷ θεάτρῳ τούτων δὴ τῶν δυοῖν ὑπάτων καθιστάμενος μέσος, τοῦ περικεχυμένου πλήθους τὴν προσδοκίαν τῇ δαψιλείᾳ τῶν ἐπὶ τῷ θριάμβῳ λόγων ἐκόρεσας. Δέδωκας οὖν ἀφορμὴν, ἐμοὶ δοκεῖν, λόγων τῇ τύχῃ, ἡνίκα σε ἐφιλοφρονεῖτο καὶ ὡς οἰκεῖον ἐντρύφημα περιέθαλπε· δῶρον γὰρ, ὅπερ οὐδενί ποτε προὔτεινε τῶν ἰδίων, ἀνείλου. Βούλει τοίνυν λογισμὸν θέσθαι μετὰ τῆς τύχης; Νῦν σοι πρώτως ὀφθαλμὸν ἐπέβαλε βάσκανον· εἰ δέ γε τό τε πλῆθος καὶ τὴν ποιότητα τῶν ἡδέων τε καὶ λυπηρῶν εἰς νοῦν ἀναλήψῃ, οὐκ ἂν ἀρνήσασθαι οἷός τε γένοιο μὴ οὐκ εὐδαίμων ὑπάρχειν ἔτι. Ὥστ' οὖν εἰ τούτου γε ἕνεκεν δυσπραγοῦντα σαυτὸν οἴει, ὅτι ἅ σοι τηνικαῦτα ἡδέα ἐδόκει ᾤχετο, οὐκ ἔστιν οὐδὲν ᾧ

---

[1]) MSC. προυχόντων. [2]) κορώνιδα.

σαυτὸν ἡγεῖσθαι κακῶς πράττειν δίκαιος εἶ· καὶ γὰρ ἅττα νῦν ἀνιαρῶν ἔχει δόξαν ἀποχωρήσει. Ἢ ἄρτι δὴ πρώτως ἐξαπιναίως εἰς ταυτηνὶ δὴ τὴν τοῦ βίου σκηνὴν ἐξεναγήθης; καί τι [1]) τοῖς ἀνθρωπίνοις πράγμασι πάγιον ὑπολαμβάνεις ἐνεῖναι, ὁπότε καὶ αὐτὸν πλειστάκις τὸν ἄνθρωπον ὥρα βραχυτάτη πέφυκε διαλύειν; Εἰ γὰρ καὶ σπανία τοῖς τυχηροῖς ἡ τοῦ μένειν ἐστὶ πίστις, ὅμως ἡ τῆς ἀνθρωπίνης ζωῆς ὑστάτη πασῶν ἡμέρα θάνατός τις ὑπάρχει τῆς τύχης, κἂν εἰ μένουσα διετέλεσε [2]). Τί τοίνυν ἐν τούτῳ τὸ διάφορον ὑποπτεύεις; οὔκουν ἢ σὺ θνήσκων αὐτὴν καταλείπεις, ἢ ἐκείνη σε φεύγουσα;

Εἰς πόλον Φοίβου ῥοδόεντι δίφρῳ
  αἴγλην ἀρχομένου σκεδανεῖν,
ὠχριᾷ γλαυκούμενα ἀμβλὺν ὦπα
  ἄστρ' ἀκτῖσι πεδούμενα.
Εἰ [3]) νέμος πνοιῇ ζεφύροιό [4]) γ' εὔπνους
  φοίνιξ' ἄνθεσιν ἠρινοῖς,
λυσσάδος πνεύσαντος ἄφαρ νότοιο,
  κόσμον ῥίψεν [5]) ἄκανθ' ὁμοῦ.
Νῦν μὲν οὖν ἅλς εὔδιος αἰθριάζει,
  τηροῦσ' ἄψοφα κύματα·
νῦν δὲ παφλάζοντα σάλον θάλασσαν
  στρωφῶν στήσατο καικίας.
Ἄστατον γοῦν κόσμου εἰ ἔστιν εἶδος,
  εἰ τόσσαις φέρεται στροφαῖς,
δὴ τύχῃ πίστευε βροτῶν ἀκιδνῇ
  φεύγουσίν τ' ἀγαθοῖς τύχης·
θέσμιον γὰρ τ' ἀΐδιον τέθειται
  μηδὲν γιγνόμενον μένειν.

Ἐν τούτοις αὐτός· Ἀληθῆ μέν, ἔφην, διεμνημόνευσας, ὦ τροφὲ πασῶν ἀρετῶν, οὐδ' ἂν ἐξαρνήσασθαι δυναίμην τῆς εὐτυχίας ἐμαυτοῦ τὸν ταχύτατον δρόμον. Ἀλλὰ τοῦτ' ἐστὶν ὅ με εἰς νοῦν ἀναβαῖνον πιμπρᾷ κατὰ κράτος [6])· ἐν παντὶ γὰρ τύχης ἐναντιώματι κακοδαιμονέστατον δυστυχίας εἶδός ἐστι τὸ γεγονέναι εὐδαίμονα. Ἀλλὰ σύ, ἦ δ' ὅς, ἣν τῆς ἐσφαλμένης δόξης δίκην ὑπέχεις ἐν τῷ λυπεῖσθαι, ταύτην οὐκ ἂν σὺν δίκῃ τοῖς πράγμασιν

[1]) MSC. καίτοι. [2]) διετέλευσε. [3]) εἰς. [4]) ζεφύρου τόγ'. [5]) ῥίψαν. [6]) κατακράτος.

ἐναποτρίβεσθαι δύναιο. Εἰ γάρ σε τὸ κενὸν καὶ ἀνυπόστατον ὄνομα τῆς τυχηρᾶς εὐδαιμονίας θροεῖ, ἐφεῖταί σοι τὴν ἀπαρίθμησιν ποιήσασθαι μετ' ἐμοῦ ὧν πλείστων εὐπορεῖς καὶ μεγίστων. Ἀμέλει γοῦν εἰ, ὅπερ ἐν πάσῃ τῇ τῆς σαυτοῦ τύχης περιουσίᾳ τιμιώτατον ἐκέκτησο, σῶον ἔτι σοι θεόθεν καὶ ἀπήμαντον συντηρεῖται· σχοίης ἂν ἄρα, τῶν βελτιόνων ὑπαρχόντων σοι, περὶ κακοπραγίας αἰτιᾶσθαι σὺν λόγῳ; Καὶ δὴ σώζεται μέν σοι τὸ τιμιώτατον ἐκεῖνο τοῦ ἀνθρωπείου γένους καλλώπισμα, ὅπερ οὐκ ἂν μαλακώτερόν τι διετέθης τῆς σαυτοῦ ζωῆς ἀνταλλάξασθαι, ὁ κηδεστὴς Σύμμαχος, ἀνὴρ ὅλος συνέσει [1]) τε καὶ ἀρεταῖς συγκεκροτημένος, καὶ τῆς ἰδίας ἀφροντιστῶν τῇ σῇ ἀδικίᾳ ἐπιστενάζει· Περίεστι δὲ καὶ ἡ σύνοικος, μετρία τὸ φρόνημα καὶ τῷ τῆς σωφροσύνης σεμνῷ διαφέρουσα καὶ συνόλως, ἵνα δὴ τὴν αὐτῆς προῖκα συγκεφαλαιώσω διὰ βραχέων, ἐοικυῖα τῷ πατρὶ κατὰ πᾶν· περίεστιν, ἔφην, σοί τε μόνῳ τὴν τῇδε ζωὴν ἀποστέργουσα τὴν ἑαυτῆς πνοὴν ταμιεύει, καὶ ᾧ μόνῳ τὴν σὴν εὐδαιμονίαν ἀκρωτηριάζεσθαι κἂν αὐτὴ συμφήσαιμι, ὑπὸ τοῦ σοῦ πόθου δάκρυσι καὶ λύπαις συντήκεται. Τί δ' ἂν τοὺς ὑπατικοὺς υἱέας εἴποιμι, οἷς ἄρτι τὴν παιδικὴν ἐξαλλάττουσιν ἡλικίαν ἐπίσης τοῦ τε πατρῴου καὶ παππῴου χαρακτὴρ ὑπολάμπει φρονήματος; Ἐπεὶ τοίνυν τοῖς ἀνθρώποις οὐδὲν ἀξιοσπουδαστότερον ἢ τῆς ἰδίας φροντίζειν ζωῆς ἐφῷ συνίσταιτο, ὦ πόσης ἀπολαύεις εὐδαιμονίας, εἰ ἄρα τὰ σαυτοῦ μὴ ἀγνοεῖς ἀγαθὰ ᾧ μέχρι δεῦρο τοῦ χρόνου περίεισιν, ἅπερ ὑπ' οὐδενὸς ἥκει πρὸς ἀμφισβήτησιν, εἰ μὴ ποθεινότερα καὶ αὐτῆς τῆς ζωῆς ἔτι εἴη. Ἀπόμορξον τοίνυν ἤδη τὸ δάκρυον· οὐ γάρ πω πάντας ἡ τύχη συλλήβδην ἀπεστυγήκει, οὐδέ σοι σφοδρὰ κομιδῇ καταιγὶς ἐνέσκηψεν, ὁπότε κραταιῶς ἐνίσχονταί σοι αἱ ἄγκυραι, αἵπερ οὔτε τὴν τοῦ ἐνεστηκότος παραμυθίαν, οὔτε τὰς τοῦ μέλλοντος ἐλπίδας ἐπιλιπεῖν ἀνεκτὸν ἡγήσονται. Καὶ ἐνίσχοιντό γε, ἔφην, ἀντιβολῶ· ἐκείνων γὰρ μενουσῶν, ὁπωσποτοῦν ἔχει τὸ πρᾶγμα, πλευσούμεθα. Ἀλλ' ὁρᾷς ὅσον τοῖς ἡμετέροις ἐσθήμασιν ὑπερρύη καὶ ᾤχετο. Ἡ δέ· Προκεκόφαμεν ἐπὶ ποσόν γε, εἶπεν, εἰ μήπω πάσῃ τῇ μοίρᾳ σεαυτοῦ δυσκολαίνεις. Ἀλλὰ τὴν σὴν βλακείαν

---

[1]) MSC. συνεύσει.

οὐκ ἔχω φέρειν, ὃς ἐνδεῖν τι τῇ σαυτοῦ εὐδαιμονίᾳ σὺν στυγνότητι καὶ θρήνοις προσανακλαίῃ. Τίς γὰρ τοσοῦτον καθεστηκυίας μετέσχεν εὐημερίας, ὡς μηδαμῶς ἐκ μέρους τινὸς ἄχθεσθαι τῇ αὐτῆς καταστάσει; Χαλεπὸν γὰρ δή τι χρῆμα τῶν ἀνθρωπίνων ἀγαθῶν ἐστιν ἡ διάθεσις, ἢ οὐδέποτε ἐπιδιδοῦσα πρὸς ἐντελέχειαν, ἢ οὐκ ἔστιν ὅτε διαρκοῦσα πρὸς μονιμότητα. Τῷ μὲν γάρ τινι χρημάτων εὖ ἥκοντι πρὸς αἰσχύνης ἐστὶ τὸ δυσγενοῦς αἵματος κατιέναι· ὁ δέ τις εἰς ἐπιφανεῖς ἀναφέρων τὸ γένος, τῷ δὲ τῆς οὐσίας συνεσταλμένῳ στενοχωρούμενος, τῶν ἀφανῶν γε εἶναι μᾶλλον αἱρεῖται. Ἄλλος περιβέβληται μὲν ἀμφότερα, πενθεῖ δὲ τὴν μὴ παροῦσαν σωφροσύνην τῇ γυναικί· ἕτερος, εὐτυχηθέντος αὐτῷ τοῦ γάμου, παίδων πατὴρ μὴ γιγνόμενος, ἀλλοτρίοις κληρονόμοις τὸν πλοῦτον τρέφει· ἄλλος ἡδόμενος υἱέος ἢ θυγατρὸς γονῇ, ταῖς ἐκείνων ἐκδιαιτήσεσι δακρύων ἐπιστενάζει. Ἐντεῦθεν οὖν δῆλον ὡς οὐδεὶς ῥᾷστα τῇ καταστάσει τῆς ἑαυτοῦ τύχης συμφωνεῖ κατὰ πᾶν· πρόσεστι γὰρ ἑκάστῳ τι, ὅπερ ὁ μὲν ἄπειρος ὢν ἀγνοεῖ, ὁ δὲ πεπειραμένος κατοῤῥωδεῖ. Πρόσθες ὅτι καὶ πᾶς ὁστισοῦν τῶν εὐτυχεστάτων τρυφερωτάτοις χρῆται καὶ τοῖς αἰσθητηρίοις, κἂν εἰ μὴ πρὸς τὸ νεῦμά οἱ πάντα συντρέχοι, ἥκιστά τινος ὢν ἐν ἔθει κακώσεως, βραχυτάτοις καὶ τοῖς τυχοῦσιν εὐθὺς καταβάλλεται· οὕτω διαφερόντως σμικρότατα ὄντα τυγχάνει τὰ τοὺς εὐτυχεστάτους τὴν ἀκρότητα τῆς μακαριότητος ζημιοῦντα. Πόσους δὲ δοκεῖς εἶναι, οἳ καὶ τοῦ οὐρανοῦ ἅπτεσθαι ἂν ᾤοντο, εἴπερ ἐκ τῶν τῆς σῆς τύχης λειψάνων ἐλαχίστη σφίσι μερὶς ἐπεπόριστο; Οὗτός γε μὴν ὁ χῶρος, ὃν ὑπερορίαν ἀποκαλεῖς, τοῖς αὐτὸν παροικοῦσι πατρίς ἐστιν· οὐδὲν γὰρ δεινὸν, εἰ μὴ ὃ τοιοῦτον ἡγῇ, κἀκ τοῦ ἐναντίου δὲ πᾶσα τύχη τις τῇ μεγαλοφροσύνῃ τοῦ φέροντος εὐδαίμων ἀποτελεῖται. Τίς γὰρ τοσαύτης μακαριότητος τεύξαιτο ἂν, ὃς τῷ μὴ ὑπομένειν ἑαυτὸν ὑποθεὶς, οὐκ ἂν ἱμείροιτο τὴν οἰκείαν τῆς τύχης ἀμείβειν κατάστασιν; Πόσῃ δὲ καὶ πικρίᾳ τῆς ἀνθρωπίνης εὐδαιμονίας περικλύζεται ἡ γλυκύτης· ἥτις εἰ καὶ τοῖς ἔχουσιν ἡδεῖα δοκεῖ, ὅμως ἐπειδὰν ἀπιέναι βούληται, φύσιν οὐκ ἔχει κατέχεσθαι. Προὖπτον οὖν ὁπόσον ἡ τῶν ἀνθρωπίνων πραγμάτων μακαριότης τῆς ἰδίας ἀθλιότητος δεῖγμα παρίστησιν, οὔτε τοῖς μεγαλοψυχοῦσι παραμένουσα διὰ βίου, καὶ τοὺς μεμφομένους αὐτὴν οὔκουν εἰς τὸ

παντελὲς εὐθυμοτέρους ποιοῦσα. Τί τοίνυν, ὦ θνητῶν γένος ἀνθρώπων, θύραθεν τὴν ἐντὸς ὑμῶν κειμένην εὐδαιμονίαν μετέρχεσθε; Πλάνη πάντως καὶ ἀγνωσία ὑμᾶς συνταράσσει. Ἔγωγ' οὖν σοι δείξω διὰ βραχέων τὴν κορυφὴν τῆς ἄκρας εὐδαιμονίας. Ἆρ' ἔστι σοί τι σαυτοῦ τιμιώτερον; Οὐδὲν ὁμολογουμένως ἐρεῖς. Εἰ τοίνυν σαυτὸν εὖ διαθήσῃ, κτήσῃ ὅπερ οὔτ' οὖν αὐτός ποτε θελήσεις ἀποβαλεῖν, οὔθ' ἡ τύχη σχοίη ἂν ἀφελέσθαι. Ὡς ἂν δὲ μάλιστα γνῷς ἐν τοῖςδε τοῖς τυχηροῖς πράγμασιν εὐδαιμονίαν μὴ οἵαν τ' οὖσαν συστῆναι, σκοπῶμεν ὡδί. Εἰ ἡ μακαριότης ἄκρον πέφυκεν ἀγαθὸν φύσεως τῆς λόγῳ βιούσης, τὸ δὲ καθ' ὀντινοῦν τρόπον φύσιν λαχὸν συλᾶσθαι ἄκρον οὐκ ἔστιν ἀγαθὸν (ὑπερέχει γὰρ ἐκεῖνο τὸ ἥκιστα δυνάμενον ἀφαιρεθῆναι), καθαρώτατον δὴ ὡς καὶ τὸ τῆς τύχης ἄστατον πρὸς μακαριότητος κατάληψιν ἐφικέσθαι ἀπόρως ἔχει. Πρὸς τούτοις, ὃν ἡ πολύπτωτος ἥδε μετεωρίζει εὐδαιμονία, ἤτοι οἶδεν ἢ ἀγνοεῖ ταύτην οὖσαν εὐμετάβολον. Εἰ μὲν οὖν οὐκ οἶδε, πόθεν ἂν εὔδαιμον εἴη λάχος τὸ τῇ πηρώσει τῆς ἀγνοίας συσκιαζόμενον; εἰ δ' οὐκ ἀγνοεῖ, δεδιέναι καὶ ἀγωνιᾷν πᾶσα ἀνάγκη περὶ τῇ ἐκείνων ἀποβολῇ, ἅπερ ἀποβαλεῖν δυνατὸν εἶναι οὔκουν ἐν ἀμφιβόλῳ γίγνεται· διὸ καὶ τῷ συνεχεῖ τοῦ δέους εὐδαιμονεῖν οὐδαμῶς συγχωρεῖται. Ἀλλ' εἰ ἀποβαλεῖ, ὀλιγωρητέον αὐτῶν εἶναι ἡγήσεται; Ἀλλὰ καὶ ὡς[1]) οὐδαμινὸν ἀγαθόν ἐστιν, ὅπερ ἀποβαλὼν τις καρτερικῶς ἂν ἐνέγκαι. Ἐπεὶ δὲ σὺ ἐκεῖνος, ᾧ πιστόν τε οἶδα καὶ τῷ νοῒ ἐνιδρυμένον ὂν πλείσταις ὅσαις ταῖς ἀποδείξεσι τὰς ἀνθρώπων ψυχὰς μηδένα τρόπον θνητὰς εἶναι, σαφέστατον δὲ καὶ τὴν ἐκ τύχης εὐδαιμονίαν τῇ τελευτῇ συγκαταστρέφειν τοῦ σώματος, οὐκ εἰκότως ἔχει διστάζειν, εἴπερ αὕτη μακαριότητα ἐπιφέρειν δύναται, μὴ οὐχὶ πᾶν τὸ θνητὸν γένος τῷ θανάτου τέλει καταπίπτειν εἰς ἀθλιότητα. Εἰ δὲ καὶ πολλοὺς ἴσμεν τὴν μακαριότητος κτῆσιν οὐχ ὅτι θανάτῳ, ἀλλὰ καὶ πόνοις καὶ βασάνοις ἐζητηκότας, τίνα τρόπον εὐδαίμονας οἵα τε ἐστὶ παροῦσα ποιεῖν, ἥ γε ἀθλίους παριοῦσα οὐκ ἀπεργάζεται;

Πᾶς τις θέλων διαρκὲς
πῆξαι δῶμα βεβαίως,

---

[1]) MSC. ὡς.

μίμνειν τ' ἀεὶ συνεστὼς [1])
ἀστεμφὴς τ' ἀνέμοισι,
πόντου τ' ἀπειλέοντος
ῥοθίων δῆτ' ὀλιγωρεῖν,
ὄρεος φυλάξαιτ' [2]) ἄκρην
ψάμαθόν τ' εὐστυφέλικτον [3])·
τὴν μὲν γὰρ αἰνὸς εὖρος
πάσῃ ἰσχύϊ βάλλει,
ἡ δ' αὖ γε χαυνότητι
οὐχ ἕξει βάρος οἴσειν.
Σφαλερὴν τύχην σὺ φεύγων
μεγάρων ἁβροδιαίτων,
φράζευ μέλεθρ' ἐρυμνὰ
χθαμαλῇ χοιράδι ῥιζοῦν·
κἂν γὰρ θοὸν ῥοθήσῃ [4])
στρωφῶν πόντον ἀήτης,
ἀλλ' ἀσφαλὴς σὺ μίμνων
θεμέθλων ὄλβιος ἀλκῇ,
αἰῶν' ἄριστον ἄξεις,
ἀλογῶν ἠέρος ὀργῆς.

Ἀλλ' ἐπεὶ τὰς τῶν ἡμετέρων λόγων θεραπείας ἡσύχως ὁρῶ σε φέροντα, χρηστέον εἶναι καὶ μικρὸν αὐστηροτέραις οἴομαι δεῖν. Φέρ' εἰπὲ γάρ· εἰ καὶ τὰ δῶρα τῆς τύχης εὐόλισθα [5]) μὴ ἦν καὶ ἀκαριαῖα, τί δήποτ' αὐτοῖς πρόσεστιν, ὅπερ ἱκανὸν γένοιτ' ἂν ἢ ὑμέτερόν ποτε γενέσθαι, ἢ πολυπραγμονούμενον καὶ κατανοούμενον οὐκ ἂν εὐτελὲς εἴη καὶ τοῦ μηδενὸς ἄξιον; Τὸν πλοῦτον ἐρεῖς, ἢ τῇ ὑμετέρᾳ ἢ τῇ ἑαυτοῦ φύσει τιμιώτατον ὄντα, καὶ τούτου μᾶλλον τὸν χρυσόν; Ἀλλὰ τὰ συναθροισθέντα χρήματα; Καὶ μὴν ταῦτα σκορπιζόμενα μᾶλλον ἢ συσσωρευόμενα βέλτιον διαλάμπει· ὅτι καὶ σμικρολογία μὲν μισητοὺς αἰεί, περιφανεῖς δὲ καθίστησι τὸ φιλόδωρον. Εἰ δὲ καὶ μένειν παρ' ὁντιναοῦν οὐ δύναται τὸ πρὸς ἄλλον μεταφερόμενον, τότε δὴ τυγχάνει τὰ χρήματα τιμιώτατα, ἡνίκα τῇ ἐλευθεριότητι πρὸς ἑτέρους μεταφερόμενα τῆς σῆς δεσποτείας ἀποφοιτῶσι. Καὶ φωνὴ μὲν ἐντελὴς ἐκ τοῦ ἴσου πολλῶν ἐπλήρωσεν ἀκοάς· τὰ δὲ ὑμέτερα χρήματα εἰ μὴ εἰς λεπτὰ κατακερματισθείη, πρὸς πολλοὺς ἀδυνατεῖ μεταβῆναι· ἄλλως τε εἰ τὰ

[1]) Ce vers manque dans le MSC; suppléé d'après Weber. [2]) Web. φυλάξετ'. [3]) MSC. εὔστυφέλικτον. *Sable mouvant;* mot nouveau. Weber. [4]) ῥοθήσοι. [5]) εὐόλιστα.

πανταχοῦ τῶν ἐθνῶν ὄντα χρήματα πρὸς ἕνα τινὰ ξυλλεγείη, τοὺς λοιποὺς ἐνδεεῖς ἑαυτῶν καταλείψουσιν [1])· οὗ γενομένου, πτωχοὺς ἀναγκαῖον ἀπολειφθῆναι ὧν ἀπεχώρησαν. Ὦ τοίνυν στενωτάτου πλούτου καὶ πένητος, ὃν οὔτε πολλοῖς ἔξεστιν ἔχειν ἀθρόον, καὶ πρὸς ὅντινα δήποτε οὐκ ἄνευ τῆς τῶν ἄλλων ἀπορίας ἀφικνουμένου. Ἀλλὰ τῶν λίθων τὸ διαυγὲς τοὺς ὀφθαλμοὺς θέλγει; Ἀλλ' εἴ τι κράτιστον ἔνεστι τῇ τούτων στιλπνότητι τῶν λιθιδίων, οὐ τῶν ἀνθρώπων ἐστίν. Ἃ καὶ σφόδρα θαυμάζω τοὺς ἀνθρώπους θαυμάζοντας. Τί ποτε γάρ ἐστι τὸ λειπόμενον μὲν ψυχῆς, πόῤῥω δὲ κινήσεως καὶ μελῶν συνθέσεως ὄν, ὃ τῇ ἐμψύχῳ τε καὶ λογικῇ φύσει σὺν δίκῃ περικαλλὲς δόξειεν ἄν; Ταῦτα γὰρ εἰ καὶ παρὰ τοῦ δημιουργοῦ γεγένηται, καὶ τῇ τούτου διακοσμήσει ἐφέλκεταί τινα τοῦ τελευταίου κάλλους ἐκεῖθεν ἀπηχήματα, ὅμως ἐν τῷ μεταξὺ τῆς ὑμετέρας ὑπεροχῆς κείμενα ἥκιστα τῆς παρ' ὑμῶν ἐκπλήξεώς εἰσιν ἄξια. Ἀλλ' ἡ ὡραιότης ὑμᾶς τῶν ἀγρῶν τέρπει; Καὶ μάλα· ἔργου καὶ γὰρ ἐκπρεπεστάτου μερίς ἐστιν εὐπρεπής. Οὕτω δ' ἐνίοτε καὶ τῆς θαλάσσης γαληνιώσης τῇ ἐπιφανείᾳ τερπόμεθα· οὕτως οὐρανὸν, ἀστέρας, ἥλιον, σελήνην ἀγάμεθα μὲν γοῦν. Τῶν τοιούτων ἀνήκει σοι τί; Μὴ πρὸς τοσοῦτον ἔρχῃ τόλμης, ὥστε του [2]) τούτων ἐναβρύνεσθαι τῇ λαμπρότητι; Ἢ τοῖς ἐαρινοῖς ἄνθεσιν αὐτὸς ἐγκαλλωπιζόμενος φαίνῃ; ἢ σοι τῶν θερείων καρπῶν ἡ εὐετηρία σφριγᾷ; Τί ταῖς κεναῖς τέρψεσι συναρπάζῃ; Τί τᾶν θύραθεν ἀγαθῶν ἀντὶ τῶν σῶν περιέχῃ; Οὐδέποτε σὰ ἡ τύχη ποιήσει, ἅπερ ἀλλότριά σου τῶν πραγμάτων ἡ φύσις ἐποίησε. Καὶ δὴ καὶ τῆς γῆς οἱ καρποὶ τῇ τῶν ζώων ἀνήκουσιν ἀναντιῤῥήτως τροφῇ. Ἀλλ' εἰ, ὅπερ ἅλις ἔχει τῇ φύσει, τούτῳ τὴν ἔνδειαν ἀναπληροῦν βούλει, οὐδὲν χρέος τῆς ἐκ τῆς τύχης εὐπορίας ἐφίεσθαι. Ὀλίγοις γὰρ καὶ μικροῖς ἡ φύσις ἀρκεῖται· ἧς εἰ τοῖς περιττοῖς ἐθέλεις τὸν κόρον ἐπαύξειν, ἤτοι ἀηδὲς ἔσται τὸ εἰσχεόμενον ἢ βλάβης παραίτιον. Ἤδη δέ που καὶ τοῖς εὐανθέσιν ἐσθήμασι κάλλιστον οἴει κοσμεῖσθαι; ὧν εἴ τι που καλὸν ταῖς ὄψεσι κεχάρισται, ἢ τὴν τῆς ὕλης ὑπόστασιν ἢ τὸ περὶ ταῦτα διαπεφυκὸς τοῦ τεχνί-

---

1) Cette phrase et la précédente sont interverties dans le texte latin ; l'ordre de la traduction paraît préférable. 2) MSC. τοῦ.

του θαυμάσομαι. Ἀλλ' ὁ μυρίος σε τῶν οἰκετῶν ἐσμὸς εὐδαίμονα θήσει; Καὶ οὗτοι δὲ, εἰ τοὺς τρόπους διεφθάραται, ἐπικίνδυνόν τε ἄχθος τῇ οἰκίᾳ περινοστοῦσι καὶ αὐτῷ δὴ τῷ δεσπότῃ διαφερόντως πολέμιον. Ἔστωσαν δ', εἰ δοκεῖ, τῶν καλῶν τε κἀγαθῶν· ὅτῳ[1]) δὴ τρόπῳ τοῖς ὑπάρχουσί σοι ἡ ἄλλων εὐδοκίμησις συγκαταλεγήσεται; Ἐκ γὰρ τῶν ῥηθέντων συνάγουσιν, οὐδὲν τούτων, ἃ τοῖς σαυτοῦ συναριθμεῖς ἀγαθοῖς, σὸν ἀγαθὸν ὑπάρχειν ἐκ τοῦ προφανοῦς ἀποδείκνυται. Οἷς εἰ μηδὲν ἀξιοσπουδάστου πρόσεστιν ὡραιότητος, ὅτου δὴ [2]) χάριν ἢ ἀποπτάντων ἀσχάλλεις ἢ χαίρεις μενόντων; Εἰ δὲ καὶ τῇ φύσει καλὰ ταῦτα, τί σοι μέτεστι τῶνδε; Καὶ γὰρ καὶ καθ' ἑαυτὰ καὶ τῆς σῆς ἐκτετοπισμένα περιουσίας πάντως ἤρεσκεν ἄν. Οὐδὲ γὰρ τούτου γε ἕνεκα τετίμηται ὅτι πρὸς τὸν σὸν πλοῦτον ἀφίκετο, ἀλλ' ὅτι τίμιά σοι ὑπείληπτο ἐν τοῖς σοῖς ἐξετάζεσθαι χρήμασι, ταῦτα βουλομένῳ σοι γέγονε. Τί δὲ καὶ τοσούτῳ θορύβῳ τὸ τῆς τύχης δαψιλὲς ἀνιχνεύετε; Οἶμαι φυγαδεῦσαι τῇ εὐπορίᾳ τὴν ἀπορίαν ζητεῖτε. Καίτοι τοῦτό γε ὑμῖν εἰς τοὐναντίον μᾶλλον χωρεῖ· πολλοῦ καὶ γάρ, ὡς εἰκὸς, χρεία τοῦ συμμαχικοῦ πρὸς τὸ τῆς πολυτιμήτου ἀποσκευῆς τὴν ποικιλίαν συντηρηθῆναι. Κἀκεῖνο δὲ ἀληθείας ἔχεται, πολλῶν προσδεῖσθαι τοὺς πολλὰ κεκτημένους· κἀκ τοῦ ἐναντίου δὲ βραχυτάτων τοὺς τὴν ἑαυτῶν εὐπορίαν τῇ τῆς φύσεως ἀνάγκῃ, ἀλλ' οὐ τοῖς περιττοῖς καὶ τῇ περὶ ταῦτα φαντασίᾳ μετροῦντας. Οὕτως ἄρα οὐδὲν ἴδιον ἀγαθόν ἐστι καὶ τῇ φύσει ἐνιδρυμένον, ὥστε καὶ παρὰ τοῖς ἐξωτερικοῖς τε καὶ ἀπεσχοινισμένοις ὑμῶν τὰ ὑμῶν αὐτῶν ἀγαθὰ θηρᾶσθε. Οὕτως ἡ τάξις ἀνατέτραπται τῶν πραγμάτων, ὥστε τὸ θεοειδὲς τῇ τοῦ λόγου ἀξίᾳ ζῶον μὴ ἂν ἄλλως διαπρέπειν, ὅτι μὴ τῇ κτήσει τῶν μὴ μεμοιραμένων ψυχῆς κειμηλίων. Καὶ τὰ μὲν ἄλλα τοῖς ἑαυτῶν ἀρκοῦνται, ὑμεῖς δὲ οἱ κατὰ τὸ λογικὸν προσεοικότες θεῷ ἐκ τῶν ταπεινοτάτων τὸν τῆς ὑπερεχούσης φύσεως μέτιτε [3]) κόσμον, καὶ οὐδ' ἐπὶ νοῦν βάλλεσθε ὅσην τῷ δημιουργῷ ὑμῶν δύσκλειαν ἐπιφέρετε· ἐκεῖνος μὲν γὰρ τὸ τῶν ἀνθρώπων γένος τῶν ἐπιγείων πάντων ἐξῃρημένον εἶναι ἠθέλησεν, ὑμεῖς δὲ τὴν ὑμῶν αὐτῶν ἀξίαν ὑπὸ τοῖς εὐτελεστάτοις καὶ συρφετώδεσι κατο-

---

[1]) Dans le sens de l'interrogation directe. [2]) MSC. δὲ. [3]) μετίτε.

ρύττετε. Καὶ γὰρ εἰ πᾶν ὅπερ οὑτινοσοῦν ἐστὶν ἀγαθὸν ἀνάγκη τιμιώτερον ἢ ἐκεῖνο οὗ ἐστὶν ἀγαθὸν εἶναι, ὑμεῖς δὲ τὰ τῶν πραγμάτων ἀτιμότατα ὑμέτερα εἶναι ἀγαθὰ κρίνετε, τοῖς αὐτοῖς δήπου τῇ ὑμετέρᾳ δόξῃ ὑμᾶς αὐτοὺς ὑποκεῖσθαι παρέχετε. Τοῦτο δὲ καὶ οὐκ ἀναξίως συμπίπτει. Τῆς γὰρ ἀνθρωπείου φύσεως αὕτη ἐστὶν ἀποκλήρωσις, ὡς τότε μόνον τῶν λοιπῶν ὑπερανῳκίσθαι πραγμάτων, ἐπειδὰν ἑαυτὴν ἐπίστηται· ὅταν δὲ τοῦ ἑαυτὴν εἰδέναι ἀφίστηται, παραβάλλεσθαι τοῖς ἀλόγοις. Ὃ γὰρ τοῖς ἄλλοις ζώοις τὸ ἀγνοεῖν ἑαυτὰ φύσις ἐστὶ, τοῦτο τοῖς ἀνθρώποις εἰς κακίαν λογίζεται. Εἰς ὅσον δὲ καὶ ἡ ὑμετέρα πλάνη τηλαυγῶς καταφαίνεται τῶν δυνατῶς ἔχειν οἰομένων τοῖς ἀλλοτρίοις καλλωπίσμασιν ὡραΐζεσθαι. Καὶ γὰρ τοῦτο γενέσθαι οὐχ οἷόν τε. Εἰ γάρ τις τοῖς προσθέτοις τε καὶ περιθέτοις ἀστράπτει, τὰ μὲν προστιθέμενα αὐτὰ καὶ περιτιθέμενα τῶν ἐπαίνων τυγχάνει, τὸ δὲ τούτοις σκεπόμενόν τε καὶ καλυπτόμενον ἐν τῇ ἰδίᾳ οὐδὲν ἧττον χυδαιότητι διαμένει. Ἐγὼ δὲ καὶ ἀπαγορεύω εἶναί τι ἀγαθὸν τὸ τὸν ἔχοντα λυμαινόμενον. Μή τι γοῦν ἐν τούτῳ ψευδομένη ἐλέγχομαι; Ἥκιστα πάντων ἐρεῖς. Ὁ γοῦν πλοῦτος τοῖς κεκτημένοις πλειστάκις βλάβην ἐπήγαγεν, ὁπηνίκα τῶν φαύλων ἕκαστος, κἀντεῦθεν τῶν ἀλλοτρίων ἀνυπέρβλητος ἐπιθυμητὴς, ὅ τί ποτέ ἐστιν ἁπανταχοῦ γῆς καὶ χρυσίου καὶ λίθων ἑαυτὸν μόνον ἀξιώτατον ἔχειν ἡγεῖται. Σὺ τοίνυν ὁ τήμερον καὶ δόρυ καὶ ξίφος ἑξῆς ἅμα πολλαῖς ταῖς φροντίσι δεδιὼς, εἰ τὴν ὁδὸν τοῦδε τοῦ βίου ἄσκευος ὁδοιπόρος ἐπεχείρησας ἀνύειν, ἐναντίον ἂν τοῦ λῃστεύοντος ᾖδες. Ὢ τῆς περιφανοῦς τῶν ἀνθρωπίνων πραγμάτων μακαριότητος, ἧς ὁ γενόμενος ἐπιτυχὴς τοῦ μένειν ἀσφαλὴς ἀποπίπτει.

Ὡς ὄλβιος ἦν ὁ πρὶν αἰὼν,
μακροῖς ἀγαπῶν πεδίοισι,
σπατάλαις τ' οὐκ ἔκλυτος ἀργαῖς,
σχεδίην τ' εἰς βουλυτὸν ἠθὰς
δαῖτ' ἀκροδρύοισι ποιεῖσθαι.
Βάκχου δόσιν οὐκ ἐδάησαν
κεῖνοι μέλιτι ξυνυφαίνειν,
οὐδ' ἀγλαὰ νήματα Σηρῶν
Τυρίῳ γε χρώματι βάπτειν.
Ὑγιὲς κείνοις πόα λέκτρον,
πόμα δ' αὖ ἐδίδου ῥέον ὕδωρ,

σκιάν τε πίτυς λοφόεσσα.
Οὔπω πέλαγος κεχάρακτο,
οὐδ' ἐμπορίας ξυναγείρων
ἴδεν ἔμπορος ἠόνα καινήν.
Τότε ναυμαχίη τ' ἐκέκρυπτο,
μίσει τε δριμεῖ λύθρος οὔπω
φοίνιξε πέδον βλοσυρωπόν·
τί ποτ' εἶχε γὰρ ἔχθριος ὀργὴ
προτέρη τότε τεύχεα κινεῖν,
ὁπότε πληγὰς μὲν ἑώρων,
ἆθλον δ' ὑπὲρ αἵματος οὐδέν;
Ὄφελόν γ' οἱ νῦν ἐπανῆλθον [1])
καιροὶ πρὸς ἔθη τὰ παλαιά,
εὖτ' ὀξύτερος πυρὸς Αἴτνης
φιλοχρηματίης πόθος αὔξει.
Φεῦ, τίς πέλε πρῶτος, ὃς ἄχθος
χρυσοῖο καλυπτομένοιο
κρύπτειν τε λίθους ἐθέλοντας,
σεπτὸν μάλα πῆμ' ἀνόρυξεν [2]).

Τί δαὶ περὶ τῶν ἀξιωμάτων τε καὶ δυναστειῶν φθέγξομαι, ἅπερ ὑμεῖς οἱ τῆς ἀληθοῦς ἀξίας καὶ δυναστείας ἀγνῶτες καὶ ἀνεννόητοι [3]) οὐράνια καὶ θεῖα νομίζετε; ἅπερ εἰ μὲν πρός τινα πεσεῖται τῶν ἐξαγίστων, τίς Αἴτνη φλόγας ἐρευγομένη, ποῖος κατακλυσμὸς τοσοῦτον ὄλεθρον ἀπεργάσεται; Ὡς γὰρ καὶ σὲ οἶμαι μεμνῆσθαι, τὴν ὑπατικὴν ἐξουσίαν, ἣ δὴ τῶν ἐλευθέρων καὶ αὐτονόμων ἦρχε, διὰ τὴν τῶν ὑπάτων ὑπεροψίαν οἱ ὑμῶν παλαίτεροι ἐπεθύμησαν ἐκποδὼν θέσθαι, οἳ διὰ τὴν αὐτὴν ὕβριν καὶ πρότερον τὸ τῶν βασιλέων ὄνομα τῆς πόλεως ἐξετόξευσαν. Εἰ δέ ποτε, ὃ δὴ καὶ σπάνιον, τοῖς ἀρίστοις προσγένοιτο, ὅ τί ποτε ἕτερον ἐν τούτοις ἢ ἡ εὐδοκίμησις τῶν αὐτοῖς χρωμένων θαυμάζεται; Οὕτω δὲ συμβαίνει μὴ ταῖς ἀρεταῖς ἐκ τῶν ἀξιωμάτων, ἐκ δὲ τῶν ἀρετῶν τοῖς ἀξιώμασι τὴν τιμὴν περιγίγνεσθαι. Τίς δὲ καὶ ἔστιν αὕτη ἡ ὑμῶν περιμάχητος καὶ περιφανὴς ἐξουσία; Οὔκουν, ὦ γήϊνα ζῶα, κατανοεῖτε τίνων ὑπερφέρειν δοκεῖτε; Εἰ μεταξὺ μυῶν μῦν τινὰ εἶδες προνόμιόν τι καὶ δυναστείαν ἑαυτῷ μνηστευόμενον πρὸ τῶν ἄλλων, ἔσχες ὅπως ἂν κατάσχῃς τὸν γέλωτα; Τί δ', εἰ τῷ σώ-

1) Weber propose de lire ἐπανελθεῖν; dans le grec de cette époque, ὄφελον signifie simplement *utinam*. 2) MSC. ἀνώρυξεν. 3) ἀνενόητοι.

ματι ἐπιστήσαις, ἀσθενέστερον εὑρεῖν ἀνθρώπου δυνήσῃ, ὃν πολλάκις ζωϋφίων τινῶν ἢ δῆγμα ἢ εἰς τὰ ἔγκατα ἑρπυσάντων ἀπόλλυσιν εἴσοδος; Ποῦ δ' ἄν τις καὶ πρεσβεῖά τινα καθ' οἱουδηποτοῦν, ὅτι μὴ κατὰ μόνου τοῦ σώματος καὶ τῶν περὶ τὸ σῶμα, λέγω δὲ τῶν τῆς τύχης, σχεῖν δυνηθείη; Μὴ γὰρ ἐλευθέρᾳ τι ἐπιτάξεις ψυχῇ; μὴ διάνοιαν τὴν ὀχυρωθεῖσαν λόγῳ καὶ πρὸς ἑαυτὴν συννεύουσαν καὶ ἐπεστραμμένην τῆς ἰδίας μετακινήσεις γαλήνης; Τυράννῳ γὰρ ὑπειληφότι ποτὲ γενναῖον καὶ ἐλεύθερον ἄνδρα τινὰ βασάνοις συνελαθέντα τοὺς τῆς κατ' αὐτοῦ γεγενημένης συνωμοσίας [1]) μηνύσαι συνίστορας, ὁ δὲ τὴν γλῶτταν δακὼν ἔτεμε, καὶ τῷ προσώπῳ τοῦ δεινοῦ τυράννου προσέπτυσεν. Οὕτω τὰς κολάσεις, ἃς ὁ τύραννος ὕλην ὑπενόησεν ἀπηνείας, ὁ σοφὸς ἀνὴρ ἀρετῆς ἀπετέλεσε [2]). Τί δὲ καὶ ἔστιν ὅπερ ἕτερόν τις ποιῆσαι δύναται, ὃ μὴ παρ' ἄλλου παθεῖν αὐτὸς ἔχει; Τὸν Βούσιριν παρελάβομεν τοὺς ξένους εἰωθότα διαχειρίζεσθαι, ὑπὸ δ' Ἡρακλέους ἐπιξενωθέντος αὐτῷ κατεργασθέντα· ὁ Ῥηγοῦλος πλείστους τῶν Ἄφρων ἐν τῇ μάχῃ ληφθέντας δεσμοῖς ὑπηγάγετο, ἀλλ' οὐκ εἰς μακρὰν ὁ αὐτὸς ταῖς τῶν ἡττημένων ἁλύσεσι τὰς χεῖρας παρέσχετο. Ἆρ' οὖν εἶναί τινα οἴει τὴν δυναστείαν τοῦ ἀνθρώπου, ὃς οὐχ οἷός τε ἐστὶν ἐκποδὼν γενέσθαι, ὅπερ αὐτὸς δύναται καθ' ἑτέρου, μὴ τὸ αὐτὸ ἕτερόν τινα κατ' αὐτοῦ ἰσχύσαι τελέσαι; Πρὸς τούτοις, εἰ τοῖς ἀξιώμασι δὴ τούτοις καὶ ἐξουσίαις προσῆν τι ἐμφύτου καὶ ἰδίου ἀγαθοῦ, οὐδέποτ' ἂν αὐτῶν ἠξιοῦντο οἱ κάκιστοι· οὐ γὰρ εἴωθεν ἀλλήλοις τἀναντία εἰς ἓν ἰέναι, ἥ τε φύσις ἀναίνεται τὴν τῶν ἀντικειμένων συνάφειαν. Οὕτως οὖν οὐκ ἀμφίβολον ὂν καὶ τοὺς πονηροτάτους πολλάκις εἰς ἀξιώματα παριέναι, ἐκεῖνο καθαρώτατόν ἐστι μὴ ἀγαθὰ εἶναι τὴν φύσιν τὰ τοῖς ἀκολάστοις συνέρχεσθαι ὑπομένοντα. Ὃ δὴ καὶ περὶ πάντων ἁπλῶς τῶν εὐεργετημάτων τῆς τύχης δικαιότατα ἂν ὑπολαμβάνεσθαι γένοιτο, ἀφθονώτερον πρὸς ὃν ἔτυχε τῶν φαύλων ἐπιῤῥεόντων. Περὶ ὧν οὐδὲ ἐκεῖνο ἀπὸ τοῦ εἰκότος εἰς διαλογισμὸν δοῦναι δοκεῖ μοι, ὅτι περ οὐκ ἔστιν ὅστις ἐν ἀμφιβόλῳ γίνεται μὴ ἰσχυρὸν εἶναι, ᾧ προσοῦσαν ἰσχὺν σύνοιδε· καὶ γὰρ καὶ τὸν ταχυτῆτι χρώ-

[1]) MSC. συνομοσίας. [2]) ἀπετέλευσε.

μενον πρόδηλον ταχὺν εἶναι. Οὕτω μουσικὴ μὲν μουσικούς, ἰατρικὴ δ' ἰατρούς, καὶ ῥητορικὴ ῥήτορας ἀποφαίνει. Ἐνεργεῖ γὰρ ἑκάστου τῶν ὄντων ἡ φύσις τὸ ἴδιον, οὐδ' ἀναμίγνυσθαι ταῖς τῶν ἐναντίων ἐνεργείαις φιλεῖ, ἀλλ' αὐτόθεν τὸ ἀντιστατοῦν ἀποκρούσεται. Ἀλλὰ μὴν οὔτε τὰ χρήματα τὴν ἄπληστον τῆς πλεονεξίας κατασβέσαι δύναται δίψαν, οὔθ' ἡ ἐξουσία αὐτοκράτορά τινα ἑαυτοῦ ἀποτελεῖ, ὃν αἱ ἐμπαθεῖς ἐπιθυμίαι καὶ μοχθηραὶ δεσμοῖς ἀῤῥήκτοις πεπεδημένον συνέχουσι, καὶ τοῖς τὴν γνώμην δὲ διεφθορόσιν ἐπιτραπέντα τὰ ἀξιώματα, οὐχ ὅτι γε ἀξίους ποιεῖ, μᾶλλον μὲν οὖν καὶ ἀναξίους αὐτοὺς παρίστησι. Πόθεν δὲ ταῦτα συμβαίνει; Φιλεῖτε, τῶν πραγμάτων ἄλλως ἐχόντων, ὑποβολιμαίοις αὐτὰ προσαγορεύειν ὀνόμασι, ῥᾴδιον ἐλεγχομένοις τοῖς αὐτῶν τῶν πραγμάτων ἀποτελέσμασι. Τοιγαροῦν οὔθ' οὗτος πλοῦτος, οὔτ' ἐκείνη ἐξουσία, οὔτ' οὖν ἐκεῖνο ἀξίωμα ὀρθῶς γε καλεῖσθαι δύναται. Καὶ τελευτῶσι τὸ αὐτὸ συμπεραίνειν περὶ πάντων τῶν τῆς τύχης ἐξόν, καθ' ἣν οὐδὲν οὔτ' ὀρεκτὸν οὔτ' ἐμφύτου τι ἀγαθότητος ὂν δεδήλωται, ἥτις οὔτε τοῖς χρηστοῖς ἑαυτὴν ἀεὶ συνδεῖ, καὶ χρηστοὺς οἷς ἂν συνδεθείη οὐκ ἀπεργάζεται οὐδαμόθεν.

Ἴδμεν ὅσσας εἰσεφόρησε κῆρας,
ἄστυ μὲν πρήσας, τὰ δὲ τέλη κτείνας,
ὃς κάσιν σφάξας ποτέ γ' ὠμοθύμως,
μητρὸς αὖ ῥεύσαντι λύθρῳ διάνθη·
πτῶμα τῆς ἐκψύξαν ὁρῶν, ὀπωπὰς
δακρύοις οὐ ῥάντισεν, ἀλλὰ κρίνειν
τῆσδ' ἐτόλμησεν [1]) τὸ μαρανθὲν εἶδος.
Οὗτος ἔμπης στέμμασιν ἦρχε δήμων,
οὓς βλέπει κρύπτων φάος ἐν ῥεέθροις
Φοῖβος, ἥκων ἀντολίης ἀπ' ἄκρης,
οὓς ὁρίζει ψύχεϊ κυκλὰς ἄρκτος,
οὓς νότος κραύραις ἀλέαις βίαιος,
φεψαλῶν ἄμμον πυρόεσσαν, αἴθει.
Μή τι γοῦν ἔσχ' ἡ περίοπτος ἀρχὴ
λύσσαν ἐξῶσαι σκολιοῦ Νέρωνος;
Φεῦ τύχης δεινῆς, ὅτε δὴ δαφοινοῖς
φαρμάκοισι προστίθεται μάχαιρα.

Ἐγὼ δὲ πρὸς ταῦτα· Γιγνώσκεις, εἶπον, αὐτὴ τὸν τῶν ἀνθρωπίνων πραγμάτων τῦφον ἥκιστά γε ἡμῶν κεκυριευκότα· ὕλης δὲ

---

[1]) MSC. ἐτόλμησε.

τῆς ἐπὶ τῷ τὰ κοινὰ διεξάγειν ἐπεθυμήσαμεν, ὡς ἂν μὴ ἀργὸν καὶ ἄπρακτον καταγηρᾶσαι τὴν ἀρετήν. Ἡ δέ· Ἀλλ᾽ οὐκ ἔστι καθότι διενήνοχεν, ἔφη, τὸ τὰς προεχούσας φύσεις, οὔπω δὲ πρὸς ἐντελέχειαν ἀφιγμένας, τῇ τῶν ἀρετῶν τελειότητι πεφυκέναι κηλεῖσθαι, ἡ δόξης ἐπιθυμίᾳ δηλαδὴ ἢ φήμῃ τε καὶ διαβοήσει τῶν ἐπὶ τοῖς δημοσίοις ἀρίστων ἐνεργημάτων· ἣν δὴ φήμην πόσον οὖσαν ἐξίτηλον καὶ παντὸς ὄγκου κεκενωμένην, οὕτω μοι μάνθανε. Πᾶσαν τὴν τῆς γῆς περιφέρειαν, ὡς ταῖς ἀστρολογικαῖς ἠκρίβωσας ἀποδείξεσι, πρὸς τὸ τοῦ οὐρανοῦ διάστημα κέντρου περιίσταται λόγον ἐπέχειν, τοῦτο δέ ἐστιν, ὡς εἰ πρὸς τὸ τῆς οὐρανίου σφαίρας μέγεθος παραβάλλοιτο, μηδέν τι μεγέθους ἔχειν παντάπασι κρίνεσθαι. Ταύτης τοιγαροῦν τῆς [1]) οὕτω πολλοστῆς ἐν τῷ κόσμῳ μοίρας ἡ τετάρτη μερὶς ἔγγιστα, ὥς που τοῦ Πτολεμαίου τοῦτο δοκιμάζοντος ἔγνως, τοῖς ἐγνωσμένοις ἡμῖν ζώοις οἰκεῖται. Ταύτης δὲ τῆς τετάρτης πάλιν μερίδος, ἣν ὅσον αἵ τε θάλασσαι καὶ λίμναι καλύπτουσιν, ὅσον τε τῷ πλάτει τῆς ἀνύδρου χώρας ἠρήμωται, κατ᾽ ἐπίνοιαν ὑπεξέλῃς, μόλις στενωτάτη τοῖς ἀνθρώποις ἐνοικεῖν ἄλως ἀπολειφθήσεται. Ἐν τούτῳ τοίνυν τῷ ἐλαχίστῳ οἱονεὶ κέντρου κέντρῳ περιειλημμένοι τε καὶ συγκεκλεισμένοι περὶ διακωδωνιζομένης φήμης καὶ περιβοήτου ὀνόματος πολλὴν τὴν φροντίδα ποιεῖσθε [2]). Τί δ᾽ ἂν εὐρύχωρον σχοίη καὶ μεγαλοπρεπὲς δόξα στενοῖς οὕτω καὶ βραχυτάτοις ὁρίοις ἀπειλημμένη; Πρόσθες ὡς καὶ αὐτὸ τοῦτο τὸ τῆς συνεσταλμένης οἰκησίμου γῆς χωρίον ἔθνη πολλὰ νέμεται, γλώσσῃ καὶ ἤθεσι καὶ κατὰ πάντα διαίτης λόγον διῳκισμένα· πρὸς ἅ, τοῦτο μὲν ταῖς τῶν ὁδῶν δυσχερείαις, τοῦτο δὲ τῷ τῆς διαλέκτου παρηλλαγμένῳ, τῷ τε μὴ συμμεμιχέναι διὰ συναλλαγμάτων, οὐχ ὅπως φήμη τῶν καθ᾽ ἕκαστα ἀνθρώπων, ἀλλ᾽ οὐδὲ πόλεων ὅλων ἐφικέσθαι δυνατῶς ἔχει. Ἀμέλει καὶ ἐπὶ τῶν ἡμερῶν Μάρκου Τουλλίου, ὡς αὐτὸς ἔν τινι τόπῳ παρασημειούμενος φαίνεται [3]), οὐδέπω τὸ Καυκάσιον ὄρος ὑπερέβαλε τῆς Ῥωμαίων πολιτείας ἡ φήμη· καί γε ἦν ἀκμάζουσά τε τὸ τηνικαῦτα [4]), παρὰ τοῖς Πάρθοις καὶ τοῖς τῇδε λοιποῖς ἔθνεσι φοβερά. Ἆρ᾽ οὖν ὁρᾷς εἰς ὅσον ἐστένωται καὶ συνῆκται ἡ δόξα, ἣν ὑμεῖς ἐκτείνειν τε καὶ

---

[1]) MSC. τήν. [2]) ποιεῖσθαι. [3]) Cic. de Rep. VI, 13. [4]) τοτηνικαῦτα.

πλατύνειν πάντα πόνον αἱρεῖσθε; Ἆρα δὲ καὶ ὅποι τοῦ Ῥωμαίων ὀνόματος ἡ φήμη διελθεῖν οὐδ' ὁπωσοῦν ἴσχυσεν, ἀνδρὸς Ῥωμαίου δόξα βαδίσει; Ἔτι γε μὴν τῶν διαφόρων ἐθνῶν τά τε ἤθη πρὸς ἄλληλα διαφωνεῖ καὶ τὰ πάτρια, ὥστε δὴ τὸ παρὰ τοῖς ἐπαινούμενον, παρὰ τοῖς τιμωρίας ἄξιον κρίνεσθαι· κἀντεῦθεν ὃν τῆς φήμης τὸ πολυθρύλλητον τέρπει, τούτῳ πρὸς πλείστων δήμων συστήματα ἀλυσιτελὲς ἐκφέρειν τὸ ὄνομα. Ἔσται τοιγαροῦν περικλειόμενος ἕκαστος τῇ δόξῃ τῇ περὶ τοὺς οἰκείους μόνους περινοστούσῃ, καὶ ἐντὸς ἔθνους ἑνὸς τερμόνων ἡ περιφανὴς ἐκείνη στενοχωρηθήσεται τῆς φήμης ἀθανασία. Ἀλλὰ καὶ ὡς, πόσους διαπρεπεστάτους ἐν τοῖς ἰδίοις καιροῖς ἄνδρας ἡ συγγραφῶν ἐνδεὴς ἀπημαύρωσε λήθη, εἴπερ ἴσως καὶ αὐτῶν τι τῶν συγγραφῶν ἐστὶν ἀπόνασθαι, ἃς ἅμα τοῖς ταύτας συνταξαμένοις τὸ μακρὸν καὶ βαθὺ καλύπτει τῆς παλαιότητος σκότος; Ὑμεῖς δὲ καὶ ἀθανασίαν ὑμῖν αὐτοῖς περιποιεῖσθαι δοκεῖτε, τοῖς ἔπειτ' ἐσομένοις χρόνοις τὴν φήμην παραδοῦναι διανοούμενοι. Ἀλλ' εἰ τὸ τῆς ἀϊδιότητος ἄπειρον πέλαγος ἐκλογίσῃ, οὔκουν ἕξεις ἡσθῆναι τῇ τοῦ σοῦ ὀνόματος μονιμότητι. Μιᾶς μὲν γὰρ χρόνου ῥιπῆς, εἰ πρὸς δέκα χιλιάδας ἐτῶν κρίνοιτο, ἐπείπερ ἑκατέρων ὥρισται, τὸ διάστημα, εἰ καὶ ὀλιγίστην, ὅμως ἔχει τινὰ κοινωνίαν. Αὐτὸς δὲ οὗτος ὁ τῶν τοσούτων ἐτῶν ἀριθμὸς τό τε τούτου διαιωνίζον, καὶ εἰ παμπληθὲς εἴη, πρὸς τὴν μὴ πέρας δεχομένην ἀϊδιότητα οὐδ' ἐγχωρεῖ παραβάλλεσθαι. Τοῖς μὲν γὰρ πεπερασμένοις ἔσται παράθεσίς τις πρὸς ἄλληλα, ἀπείρῳ δὲ καὶ πεπερασμένῳ οὐδεμία ποτ' ἂν γένοιτο. Προφανὲς τοίνυν ὡς οἱαδήποτε μακροῦ χρόνου φήμη, εἰ πρὸς τὴν ἀνεξάντλητον παρατεθείη ἀϊδιότητα, οὐχ ὅπως ὀλίγη, ἀλλ' ἀναμφισβητήτως οὐδεμία δόξειεν ἄν. Ὑμεῖς δέ, εἰ μὴ πρὸς τὰς δημοτικὰς αὔρας καὶ τὰς κενὰς περιθρυλλήσεις ὀρθῶς πράττειν ἥκιστα μεμαθήκατε, καὶ παρωσάμενοι τὸ ἐπίσημον τῆς συνειδήσεως καὶ τῆς ἀρετῆς ἐξ ἀλλοτρίων ῥηματίων ἀπαιτεῖτε τὰ γέρα, ἀλλ' ἄκουσον ὅπως ἐν τῇ τοιᾷδε τῆς φιλοτιμίας κουφότητι χαριέντως τις λέγεται παῖξαι. Τούτου γὰρ ἑτέρῳ τινὶ τὴν γλῶτταν ἐπαφέντος καὶ τοῦτον ὕβρεσι πλύναντος, οὔκουν πρὸς ἀλήθειαν τῇ ἀρετῇ χρώμενον, πρὸς δὲ δοξομανίαν τὴν τοῦ φιλοσόφου κλῆσιν ὑποδυόμενον, προσθέντος δὲ καὶ ὅτι ἤδη γνώσεται εἰ ἐκεῖνος φιλόσοφος εἴη, εἰ τὴν ἐπενεχθεῖσαν ἀτιμίαν

αὐτῷ δηλονότι πρᾴως καὶ ἡσύχως ἐνέγκοι· ὁ δὲ καρτερίαν ἀνελόμενος ἐπ᾽ ὀλίγον, καὶ τῷ δέξασθαι τὴν παροινίαν οἱονεὶ σκιρτήσας· Νῦν ἤδη, φησί, συνίης εἶναί με φιλόσοφον; Κἀκεῖνος πῶς οἴει πικρῶς αὐτοῦ καθαψάμενος· Συνῆκα ἄν, εἶπεν, εἴπερ ἐσίγας. Τί δέ ἐστιν ὃ τοῖς τῶν ἀνδρῶν ἐλλογιμωτέροις (περὶ αὐτῶν γὰρ ὁ λόγος τῶν ἀρετῇ διωκόντων τὴν δόξαν), τί δέ ἐστιν ὅπερ ἐκ τῆς φήμης μετὰ τὴν τοῦ σώματος τῷ τέλει τοῦ θανάτου διάλυσιν αὐτοῖς διαφέρει; Εἰ μὲν γάρ, ὅπερ οἱ ἡμέτεροι λόγοι πιστεύεσθαι ἀποτρέπουσιν, ὅλοι θνήσκουσιν οἱ ἄνθρωποι, οὐκ ἔστιν οὐδεμία παντελῶς δόξα, μὴ ὄντος ἐκείνου παντάπασιν οὗπερ αὕτη λέγεται εἶναι. Εἰ δ᾽ ἡ ἀγαθὰ συνειδυῖα ἑαυτῇ ψυχή, τοῦ χθονίου λυθεῖσα δεσμοῦ, ἄνετος πρὸς οὐρανὸν ἵπταται, οὐκ ἄρα πᾶσαν γηΐνην πραγματείαν ἐν ὀλιγωρίᾳ ποιήσεται, ἥτις ἤδη τῷ οὐρανῷ ἐντρυφῶσα ὑπερβολὴν οὐκ ἀπολείπει χαρᾶς τῷ τῶν ἐπιγείων ἀπαλλαγῆναι;

Ὁ δὴ διώκων δόξαν ὡς καλῶν ἄκρον
  ταύτην δοκῶν ὅλῃ φρενί,
παπταινέτω χῶρον μὲν εὐρὺν αἰθέρος
  στεινήν τε γῆς πάσης θέσιν,
καὶ τοὔνομ᾽ αἰσχυνθήσεται, κἂν ᾖ μέγα,
  μὴ σχὸν βραχὺ πληροῦν πέδον.
Τίπτ᾽, ὦ θρασεῖς, τράχηλον ἐκ θνητῶν ζυγοῦ
  μάτην ἀείρειν σπεύδετε;
κἂν γὰρ διαπτᾶσ᾽ εἰς τὰ μακρὰν πῃ γένη
  φήμη σὸν οὔνομα θροῇ,
φαιδρῷ δὲ λάμπῃ σὸς δόμος κάλλει, μόρος
  δόξαν πτύει [1]) μετήορον·
ῥιπτεῖ δ᾽ ὁμῶς [2]) ταπεινὸν ὑψηλόν τ᾽ ἄγαν,
  ἰσοῖ τε τἄνω τοῖς κάτω.
Ποῦ νῦν γὰρ ὀστᾶ πιστὰ Φαβρικίου μένει;
  ποῦ Βροῦτος ἢ στεῤῥὸς Κάτων;
ἰσχνή τις ἔτι φήμη, κενὸν τῶνδ᾽ οὔνομα
  τυτθῷ παριστᾷ γράμματι.
Μὴ γὰρ λογίδρια σεμνὰ μαθόντες, ἕξομεν
  καὶ τοὺς δαμέντας εἰδέναι;
κεῖντ᾽ οὖν ἄγνωστοι, μηδὲ τῆς φήμης σφέας
  κραίνειν ἐχούσης γνωρίμους.
Ὥστ᾽ εἰ δοκεῖτε μακρότερον ἕλκειν βίον
  φήμης βροτείας τῷ πτερῷ,
εὖτ᾽ ὔμμε καὶ τοῦδ᾽ ἦμαρ ὄψιμον στερῇ,
  ἕτερος μένει γ᾽ ὑμᾶς πότμος.

---

[1]) MSC. πτύῃ. [2]) ὅμως. corr. de Weber.

Ἀλλὰ μή ποτέ μοι ἀκήρυκτον ἐναντία τῇ τύχῃ συνάπτειν πόλεμον οἰηθῇς· ἔστι γὰρ ὅτε περὶ τῶν ἀνθρώπων ἡ κατεσχηματισμένη ἐκείνη ἐπαίνων οὐχ ἥκιστα δικαίων ἂν ἀξιοῖτο, κατὰ τοῦτο δηλαδὴ καθ' ὃ ἀναπετάννυσιν ἑαυτήν, καθ' ὃ πᾶν ἀνακαλύπτει τὸ πρόσωπον, καὶ τοὺς τρόπους παῤῥησιάζεται. Ἴσως μὲν οὖν οὔπω συμβάλλεις ὅ τι φημί· θαυμαστὸν δέ ἐστιν ὅπερ ὀργῶ λέγειν· ταύτῃ τοι καὶ τὴν διάνοιαν λόγοις ἐξαπλοῦν μόλις μοι πρὸς ἰσχύος ἐστί. Καὶ γὰρ ἐπὶ μᾶλλον ἡγοῦμαι τοῖς ἀνθρώποις τὴν ἐναντίαν ἢ τὴν δεξιὰν τύχην ὄφελος εἶναι. Ἡ μὲν γὰρ ὁσημέραι σχήματι εὐπραγίας ἐπὶ τὸ προσαγωγότερον ἑαυτὴν χρωννῦσα ψεύδεται, ἡ δὲ διαπαντὸς ἀληθής ἐστιν, ἄστατον ἑαυτήν γε τῇ μεταβολῇ ἀποδεικνῦσα· ἡ μὲν ἀπάτῃ μετέρχεται, ἡ δὲ νουθετεῖ· ἡ μὲν τῇ τῶν ἐπιπλάστων ἀγαθῶν ἰδέᾳ ταῖς τῶν χρωμένων ψυχαῖς δεσμὰ περιτίθησιν, ἡ δὲ τῇ ἐπιγνώσει τῆς εὐλύτου καὶ κατεαγυίας εὐδαιμονίας ἀνίησι τῶν δεσμῶν [1]). Ἀμέλει καὶ τὴν μὲν ὁρᾷς ἐκπεφυσημένην, διαῤῥέουσαν, καὶ ἑαυτῆς οὐδέποτ' οὖν ἐπιγνώμονα, τὴν δὲ νήφουσαν, εὔζωνον, καὶ αὐτῇ τῇ τῆς ἐναντιώσεως ἀσκήσει νουνεχεστάτην. Καὶ τέλος ἡ μὲν εὐδαίμων ἐκ τοῦ ἀληθοῦς ἀγαθοῦ πρὸς ἀνοδίας ὑποσύρει ταῖς κολακείαις, ἡ δὲ κακοπραγοῦσα πολλάκις ἀκινδύνους πρὸς τἀληθῆ [2]) ἀγαθὰ οἷά τινι ἀγκίστρῳ πέφυκεν ἀνασπᾶν. Ἆρα δὲ καὶ τοῦτο τοῖς ἐλαχίστοις ἐναρίθμιον εἶναι λογίζῃ, ὅτι σοι τῶν πιστῶν φίλων τὰς γνώμας αὕτη ἡ τραχεῖα, αὕτη ἡ φρικώδης ἀπεγύμνωσε τύχη; Αὕτη γάρ σε τούς τε τὴν φιλίαν ἐπαληθεύοντας ἑταίρους καὶ τοὺς ἐπαμφοτερίζοντας ἀλλήλων διέκρινε· καὶ γὰρ ἀποχωροῦσα τοὺς μὲν ἰδίους ἀπήγαγε, τοὺς δὲ σοὺς ἀπολέλοιπε. Πόσου δ' ἂν ὠνήσω τοῦτο ἐν τῇ ἰδίᾳ μένων ἀκεραιότητι καί, ὡς σαυτῷ ἐδόκεις, εὐδαιμονῶν; Νυνὶ δὲ καὶ τὰ ἀπολωλότα ζητεῖς χρήματα, τὸ τιμιώτατον εἶδος τοῦ πλούτου τοὺς φίλους εὑρών.

Ὅττ' οὖν κόσμος ἐν ἀσφαλεῖ
συμφώνους δέχεται τροπάς,
καὶ στοιχεῖα μαχούμενα
σπονδὴν ἀέναον [3]) φέρει·

---

[1]) MSC. δυσμῶν. [2]) τ' ἀληθῆ. [3]) ἀένναον.

ὅττ' ἠοῦς φάος ἥλιος
χρυσοῖς ἅρμασιν ἀμφέπει,
ὄφρ' ἃς ἤγαγεν ἕσπερος
μήνη νυξὶν ἐπιστατῇ [1]·
ὅττ' οἶδμ' Ἀμφιτρίτη θοὸν
εἴργει δὴ παγίοις ὅροις,
οὐδ' ἴσχει χθόν' ἐς ἄπλετον
βάλλειν κύματ' ἀπείριτα·
ταῦθ' οὕτως ἀκόλουθ' ἐνοῖ,
ἡ [2]) γῆν, πόντον, Ὄλυμπον αὖ
ἰθύνει, φιλία μόνη·
ἥδ' οὖν ἢν χαλάσῃ φιμόν,
πάντ' ἄλληλα φιλοῦντα νῦν
ὑσμίνην ἀθρόως ἀρεῖ·
καὶ δ' αὖ τοῦτο τὸ πᾶν, ὅπερ
εὐκίνητον ἄγουσι νῦν,
νεικήσουσι διασπάσαι·
αὕτη δημοτικὰ στίφη
συνδεῖ σπενδόμενα σφίσιν·
αὕτη συζυγίης θέμιν
σεμνοῖς ἐμπεδόει [3]) πόθοις·
αὕτη καὶ γλυκερὸν νόμον
πιστῆς ἥρμοσ' ἑταιρίης.
Ὦ θνητῶν γένος ὄλβιον,
εἴ γ' ὑμῶν φιλίᾳ [4]) νόος,
ἧπερ καὶ πόλος, ἥγετο.

---

[1]) MSC ἐπιστατεῖ. [2]) ἧ. [3]) ἐμπεδοίη. corr. de Weber. [4]) φιλία.

# ΒΙΒΛΙΟΝ Γ.

Ἡ μὲν ἤδη τὴν ᾠδὴν συνεπέρανεν· ἐγὼ δ' ἔτι γλιχόμενος ἀκροᾶσθαι, καὶ ἐκπεπληγμένος ὀρθοῖς ὠσὶ τὸ τοῦ λόγου δὴ τοῦτο τῇ τοῦ μέλους ἡδύτητι, ἐπεπήγειν. Καὶ μετ' οὐ πολύ· Ὦ ἀκροτάτη παραμυθία τῶν ἀπαγορευουσῶν, ἔφην, ψυχῶν, οἷόν με τῷ τε τῶν ἐννοιῶν βάρει τῇ τε τῶν ᾀσμάτων τερπνότητι ἀνεκτήσω· ὥστε καὶ οὐκ ἔτι τούτων ἀκούσας ἐλαττοῦσθαι τῶν προσβολῶν νομίζω τῆς τύχης. Τοιγάρτοι καὶ ἃ φάρμακα μικρῷ πρόσθεν δριμυτέραν ἔχειν διϊσχυρίσω τὴν δύναμιν, οὐ μόνον οὐ δέδια, ἀλλὰ καὶ λίχνως διακείμενος περὶ τὸ ἀκούειν ἀνὰ κράτος αἰτῶ. Ἡ δέ· Ἠισθόμην, εἶπεν, ἡνίκα τοὺς ἡμετέρους λόγους σιγῇ τε καὶ τὸν νοῦν προσέχων ἐδέχου· καὶ ταύτην τοῦ σοῦ νοὸς τὴν κατάστασιν προσεδόκησα, μᾶλλον δὲ (ὅπερ ἀληθέστερον φάναι) αὐτὴ συνετέλεσα. Τοιάδε δ' ὄντως εἰσὶ τὰ λειπόμενα, ὡς πρὸς μὲν γεῦσιν ἐλθόντα δακεῖν, εἴσω δὲ ληφθέντα γλυκᾶναι. Ὅτι δὲ σὺ σαυτὸν λίχνως ἔχειν φῂς περὶ τὸ ἀκούειν, πόσον ὑπ' ἔρωτος ἐκκαυθήσῃ, εἰ ὅποι [1]) σε κομίσαι πειρώμεθα γνώσῃ. Ὅποι δέ, ἔφην; Πρὸς τὴν ἀληθινήν, εἶπεν, εὐδαιμονίαν, ἣν καὶ ὁ σὸς δῆτα νοῦς ὀνειροπολεῖ, ἐπισκιαζόμενος δὲ τὸ ὄμμα τοῖς τῶν ἐνύλων εἰκόσιν ἥκιστα πρὸς αὐτὴν ὀξυδερκῆσαι δυνατῶς ἔχει. Ἐγὼ δέ· Καὶ δρᾶσον, ἔφην, ὅπως τάχιστα δέομαι, καὶ τίς ἡ ἀληθινὴ εὐδαιμονία δεῖξον ἀνενδοιάστως. Κἀκείνη· Δράσω, εἶπεν, ἀσμένως σοῦ γε ἕνεκα· ἀλλά σοι τὰ γνωριμώτερα πρότερον διαγράφειν ἐπιβαλοῦμαι καὶ λόγοις ὑπο-

[1]) MSC. ὅπῃ.

τυποῦν, ὡς ἂν τούτων ἐγνωσμένων, ἐπειδὰν ἐπὶ θάτερα τοὺς ὀφθαλμοὺς μετενέγκῃς, οἷός τε γένοιο τὸ τῆς ἀληθινῆς μακαριότητος κάλλος καταμαθεῖν.

Σπειρέμεν εἴ τις ἐς [1]) ἀγρὸν ἐθέλει,
ἀγριάδας πρότερόν γ' ἀφελέτω,
πρὸς δὲ βάτον τε θάμνον τε τεμέτω,
λήϊον ὡς νέον εὔσταχυ φέροι·
λαρότερον μέλι γὰρ μάλα δοκεῖ,
εἰ πικρότης κακυνεῖ στόμα πάρος·
τείρεα τερπνότερον μετὰ νότον
ὀμβροφόρου κοπάσαντα σελαγεῖ·
ἀχλὺν ἑωσφόρος εὖτε κεδάσει,
ἥλιος ἡδύτερος δίφρον ἐλᾷ.
Ψευδὲς ἰδὼν ἀγαθὸν σύ τε πάρος,
τὸν ζυγὸν αὖ [2]) σέο βάλλ' ἀπὸ δέρης,
νητρεκίῃ [3]) δέ μιν εἶθ' ὑπάγαγε.

Τότε δὴ τοὺς ὀφθαλμοὺς ἐπ' ὀλίγον ἐρείσασα, καὶ οἷον ἐπὶ τὸν θεσπέσιον τῆς ἰδίας διανοίας ἱδρυθεῖσα θρόνον, οὕτω πως ἤρξατο. Πᾶσα τῶν ἀνθρώπων σπουδή, δι' ἣν ποικίλοις ἀγῶσι πάντα κάματον ἀναδέχονται, διαφόροις μὲν βαδίζει ταῖς ὁδοῖς, πρὸς ἓν δ' ὅμως τῆς μακαριότητος τέλος ἐπείγεται καταλῦσαι. Τὸ δ' ἀγαθὸν τοῦτ' ἐστίν, οὗ τις ἐπιτυχὼν οὐδενὸς ἐπιθυμεῖν ἐπέκεινα δύναται· ὃ δὴ καὶ πάντων τῶν ἀγαθῶν ἀκρότης ἐστὶ καὶ πάντα ἐν ἑαυτῷ τἀγαθὰ περιέχει. Τούτῳ δὲ εἴπερ ἐνδεῖ τι, ἄκρον οὐχ οἷόν τε· ἀπολειφθήσεταί τι γὰρ ἔξωθεν, ὅπερ ἐφετὸν ἔσται. Λείπεται [4]) τοίνυν εἶναι τὴν εὐδαιμονίαν κατάστασιν τῇ συγκροτήσει τῶν ἀγαθῶν πάντων ἀπηρτισμένην [5]). Ταύτης δ', ὡς ἔφαμεν, διαφόροις ὁδοῖς ἄνθρωποι πάντες ἐπιτυχεῖς γενέσθαι σπουδάζουσιν. Ἔστι γὰρ ταῖς αὐτῶν ψυχαῖς ἡ τοῦ ὄντως ἀγαθοῦ ἔφεσις ἐμφύτως ἐνεσπαρμένη· ἀπάγει δὲ σφᾶς ἡ πλάνη πρὸς τὰ ψευδῆ δι' ἀνοδιῶν, ὧν ἕτεροι μὲν ἄκρον ἀγαθὸν τὸ μηδενὸς ἔνδειαν ἔχειν οἰόμενοι, πλούτῳ περιῤῥεῖσθαι περὶ πολλοῦ τίθενται· ἄλλοι δὲ ἀγαθὸν τὸ τιμῶν ἀξιοῦσθαι κρίνοντες, οὐκ ἀπολείπουσι σπουδὴν οὐδεμίαν τοῦ τιμῆς τυχόντες σεβάσμιοι παρὰ τοῖς ἰδίοις εἶναι πολίταις. Εἰσὶ μὲν οἵ γε

[1]) MSC. εἰς. [2]) οἱ. [3]) νητρεκίη, mot nouveau, sym. de ἀλήθεια. [4]) Le texte latin porte: *Liquet*, πρόδηλον, προφανές. [5]) ἀπηρτισμένη.

τὸ ἄκρον ἀγαθὸν ἐν τῇ ἀκροτάτῃ δυναστείᾳ περιϊστῶσιν· εἰσὶ δὲ οἱ ἤτοι αὐτοὶ βασιλεύειν ἐθέλουσιν, ἢ τοῖς βασιλεύουσι παραδυναστεύειν ἐπιτηδεύουσιν. Οἷς μὲν ἄριστον δοκεῖ τὸ περιφανές, οὗτοι ἢ πολέμου ἢ εἰρήνης μεθόδοις ἐπίδοξον ὄνομα πανταχόθεν σπείρειν διὰ σπουδῆς ἄγουσι. Πλεῖστοι δὲ τὸν τοῦ ἀγαθοῦ καρπὸν εὐφροσύναις μετροῦσι καὶ τέρψεσιν· οἱ μὲν εὐδαιμονέστατον [1]) οἴονται τὸ ταῖς ἡδοναῖς διαχεῖσθαι. Εἰσὶ δὲ οἱ τὰ τέλη τε τούτων καὶ τὰς αἰτίας πρὸς ἄλληλα μεταβάλλουσιν, ὥσπερ οἱ τὸν πλοῦτον διὰ δυναστείαν ἢ ἡδονὰς μεταδιώκοντες, ἢ οἱ τὴν δυναστείαν τοῦ πλουτεῖν ἕνεκα ἢ τοῦ διαβόητοι παρὰ πᾶσιν εἶναι θηρώμενοι. Ἐν τούτοις τοίνυν καὶ τοῖς τοιούτοις περιχορεύει τῶν ἀνθρωπίνων πράξεών τε καὶ εὐχῶν ὁ σκοπός, οἷά που γένους ἐστὶν εὔκλεια, δήμου εὔνοια, τὰ δοκοῦντά τινα περιφάνειαν προσπορίζειν, γαμετὴ καὶ τέκνα, τὰ τέρψεως χάριν ζητούμενα. Τῶν φίλων δὲ τὸ μὲν ἱερώτατον γένος μὴ ἐν τῇ τύχῃ, τῇ δὲ ἀρετῇ ἐξεταζέσθω· θάτερον δὲ ἢ δυναστείας αἰτίᾳ [2]) ἢ τέρψεως προσλαμβάνεται. Ἤδη δὲ νῦν καὶ τὰ τοῦ σώματος ἀγαθὰ οὐκ ἀπεικὸς ἀναφέρειν εἰς τὰ προειρημένα. Ἰσχὺς μὲν γὰρ καὶ μέγεθος δοκεῖ παρέχειν ἀνδρείαν, κάλλος καὶ ταχυτὴς ἐπαίνους καὶ εὐφημίαν, ὑγίεια δὲ ἡδονάς· οἷς πᾶσι μόνην ἐπιθυμεῖσθαι τὴν μακαριότητα προφανές· Ὃ γάρ τις πρὸ τῶν ἄλλων ζητεῖ, τοῦτ' ἄκρον ἀγαθὸν κρίνει. Ἀλλ' ἀγαθὸν ἄκρον τὴν εὐδαιμονίαν ὡρισάμεθα, ὥστε εὐδαίμονα κρίνει τις τὴν κατάστασιν, ἧς ὑπὲρ τὰς ἄλλας ἐφίεται. Ἔχεις τοιγαροῦν κειμένην πρὸ ὀφθαλμῶν, ὡς ἔπος εἰπεῖν, τὴν εἰκόνα τῆς ἀνθρωπίνης εὐδαιμονίας, τὰ χρήματα, τὰς τιμάς, τὴν ἐξουσίαν, τὴν δόξαν, τὰς ἡδονάς, ἃ δὴ μόνα κατανοήσας Ἐπίκουρος καταλλήλως ἑαυτῷ τὴν ἡδονὴν ἄκρον ἀγαθὸν διετάξατο· τὰ γὰρ λοιπὰ πάντα εὐθυμίαν μόνην δοκοῦσι τῇ ψυχῇ ἐπιφέρειν. Ἀλλὰ γὰρ ἐπάνειμι πρὸς τὰ τῶν ἀνθρώπων σπουδάσματα· ὧν ὁ νοῦς, εἰ καὶ τὰ μάλιστα τὴν μνήμην ζόφῳ φέρει κεκαλυμμένην, ἀλλὰ καὶ ὡς τὸ ἄκρον ἀναζητῶν ἐστὶν ἀγαθόν· ἀλλ' ὥσπερ τις μεθύων ἀγνοεῖ τὴν ὁδόν, ἥπερ εἰς τὴν οἰκίαν ἐπιστρέψει. Μὴ γὰρ πλάνην ὑπομένειν δοκοῦ-

---

1) MSC. εὐδαιμονεστάτους. Texte: *hi felicissimum putant voluptate diffluere.* 2) αἰτία.

σιν, ὅσοι μηδενὸς προσδεῖσθαι μηχανῶνται; Καίτοι οὐδὲν ἕτερον ὀρθῶς ἕξει τὴν μακαριότητα συγκεφαλαιῶσαι, ὅτι μὴ τῶν ἀγαθῶν πάντων κατάστασις ἄφθονος καὶ μηδενὸς χρήζουσα, ὃ τῶν ἀλλοτρίων ἐστὶν, ἀλλ' αὐτὴ ἑαυτῇ κατὰ τὸ παντελὲς αὐταρκοῦσα. Μηδὲ [1]) κἀκεῖνοι ἁμαρτάνουσιν, ὅσοι τὸ ὂν ἄριστον, τοῦτο δὴ καὶ τιμῆς ἁπάσης ἀξιώτατον ἥγηνται; Ἥκιστα πάντων· οὐδὲ γὰρ εὐτελές τι ἐστὶν οὐδ' εὐκαταφρόνητον, οὗ μὴ ἀτευκτῆσαι πάντων, ὡς λόγῳ εἰπεῖν, ἀνθρώπων ταλαιπωρεῖ τὸ σκοπούμενον. Ἀλλ' ἡ δυναστεία τοῖς ἀγαθοῖς οὐ συμψηφισθήσεται; Τί μή; μὴ γὰρ ἀσθενές τι καὶ δυνάμεως ἄμοιρον ὑποληπτέον τὸ πάντων κρατιστεῦον τῶν ὄντων; Ἀλλὰ τὸ περιφανὲς ὀλιγωρητέον; καὶ μὴν οὐκ ἐνὸν διηρτῆσθαι ταῦτα, ὡς μὴ πᾶν τὸ εἰς ὑπεροχὴν [2]) ἐλάσαν ἀκρότητος, τοῦτ' αὐτὸ καὶ περιφανέστατον εἶναι δοκεῖν. Ὅτι μὲν γὰρ οὐκ ἔστιν ἀλγεινὴν καὶ ἀνιαρὰν εἶναι μακαριότητα, οὔτ' οὖν λύπαις καὶ πόνοις ὑποκειμένην, τί δεῖ καὶ λέγειν; ὁπότε κἂν τοῖς ἐλαχίστοις τοῦτό γε ἀπαιτεῖται, ὅπερ εἰς κτῆσιν καὶ χρῆσιν ἐλθὸν ἡδονῆς αἴτιον ἔσται. Ταῦτ' εἰσὶν ὧν ἄνθρωποι ἐπιτυχεῖν βούλονται. Παρ' ὃ δὴ καὶ τοῦ πλούτου, τῶν ἀξιωμάτων, τῆς βασιλείας, τῆς δόξης καὶ τῶν ἡδονῶν ὀριγνῶνται, ὅτι δὴ διὰ τούτων ἑαυτοῖς αὐτάρκειαν, τιμὴν, δυναστείαν, ἐπαίνους καὶ εὐθυμίαν πιστεύουσί γε προσγίνεσθαι. Ἀγαθὸν τοίνυν ἐστὶν, ὅπερ οὕτω διαφόροις ἀγῶσιν ἀνερευνῶσιν οἱ ἄνθρωποι· ἐν ᾧ πόση τίς ἐστιν ἡ τῆς φύσεως ῥώμη προχειρότατα δείκνυται· αἱ ποικίλαι γὰρ καὶ ἀλλήλαις ἐνιστάμεναι γνῶμαι τῷ ποθεῖν τὸ τοῦ ἀγαθοῦ τέλος ταὐτὰ πρεσβεύουσι.

Τίνα τῶν ὄντων ἡνί' ἑλίσσει
φύσις ἡ κρατερὴ, πρὸς δὲ νόμοις τίσι
κόσμον ὅλον πινυτῶς πολυωρεῖ,
σφίγγουσά τ' ἀλύτῳ συνέχει δὴ
δεσμῷ ἕκαστα, δοκεῖ μοι λιγυραῖς
χορδαῖς ᾄδουσαν διατρανοῦν.
Εἰ καὶ δεσμὰ φέρουσι λέοντες
λίβυες, χερσίν τε τιταινομένην
μάρπτουσι βορὴν, τρομέουσίν τε
παιδευτὴν μάστιγ' ὑφορώμενοι,
ἣν λύθρῳ βάψειαν ἑὸν στόμα,

[1]) MSC. Μὴ δέ. [2]) ὑπεροχῆς.

θυμὸν ἄγειραν ἄφαρ λωφῶντα,
βρυχηθμοῦ βαρέος μνησθέντες,
φρίξαν τ' αὐχένας ἅμμα λύοντες,
πρῶτος δ' αἱμαλέοις ὑπ' ὀδοῦσι
μήνιδος ἤντετο λειοντοκόμος.
Ἡ δ' 1) ὑψικόμοις δένδρεσιν ᾄδει,
ὄρνις εἰρχθεῖσα παρ' ἠϊθέων,
εἰ καί οἱ γλυκερὸν μὲν πόμ' ἀεὶ
δαψιλέας τε τροφὰς φιλοκάλως
παίζουσα νέων χεὶρ προτίθησι,
τὰς μὲν συμπατέει σκεδάουσα,
μοῦνα δ' ἀλύουσ' ἄλσεα διφᾷ·
εἴ ποτε δ' ὄροφον στεινὸν ἀλύξει,
εὐφρόσυνος λόχμης σκιὰν ἀθρεῖ,
ἄλσεά τ' εὐκελάδως περιηχεῖ.
Καὶ δὲ βίῃ σθεναρῇ περιαχθεὶς
πτόρθος κόρσην ἔκλινεν εἰς γῆν·
εἰ δ' ἡ κάμπτουσά μιν ἥσει χεὶρ,
ὀρθῇ κορυφῇ πόλον αὖ λεύσσει 2).
Πέσεν ἑσπέριον Φοῖβος ἐς οἶδμα,
ἀλλὰ πορείῃ σιγαλέῃ 3) πάλιν
δίφρον ἐς ἀντολίην διελίσσει.
Ζητεῖ γὰρ ἑὴν πᾶν μάλα τάξιν,
χαῖρον ταῖς εἰς τὸ πρὶν ἐπανόδοις,
οὐδ' ὁ δοθείς τινι ῥυθμὸς ἀεὶ μένει,
ἢν μὴ τέλος ᾖ συζυγὲς ἀρχῇ·
ὡς γὰρ στάσιμον τὸν δρόμον ἕξει.

Καὶ ὑμεῖς οὖν, ὦ γήϊνα ζῶα, εἰ καὶ τὰ μάλιστα ἀμυδρᾷ τινὶ ἐμφάσει τὴν ὑμῶν αὐτῶν ὅμως ἀρχὴν ὀνειρώττετε, καὶ τἀληθὲς ἐκεῖνο τῆς μακαριότητος τέλος, κἂν εἰ μηδόλως ὀξυωπούσῃ, ὁποιᾳδήποτε δ' ὅμως διανοίᾳ θεᾶσθε, οὗ δὴ χάριν καὶ ὁδηγεῖ μὲν ὑμᾶς πρὸς τὸ ὄντως ἀγαθὸν ἡ φυσικὴ πρόθεσις, ἀπάγει δὲ τούτου πάλιν ἡ πολυσχιδὴς πλάνη. Σκόπει καὶ γάρ, εἰ δι' ὧν ἄνθρωποι ἐπιτυχεῖν τῆς μακαριότητος οἴονται, τοῦ προκειμένου ἐφικέσθαι τέλους ἱκανῶς ἕξουσιν. Εἰ μὲν γὰρ ἤτοι ὁ πλοῦτος ἢ αἱ τιμαὶ τῶν τε ἄλλων ἕκαστα τοιοῦτόν τι ἐπιφέρουσιν, οὗ μηδὲν τῶν ἀγαθῶν ἀπεῖναι δοκεῖ, καὶ ἡμεῖς δῆτα συνθησόμεθα γίνεσθαί τινας τῇ ἐπιτυχίᾳ τούτων εὐδαίμονας· εἰ δὲ μήθ' ὅπερ ἐπαγγέλλονται πρὸς πέρας ἀγαγεῖν δύνανται, καὶ προσέτι πλείστων ἀγαθῶν λείπονται, οὐ σα-

---

1) MSC. ἠδ.' 2) λεύσει. 3) πορίησι γαλέῃ; corr. de Weber.

φέστατα ἐν αὐτοῖς ἐπίπλαστον τὸ τῆς μακαριότητος σχῆμα καταλαμβάνεται; Πρῶτον ἁπάντων τοίνυν αὐτοῦ σοῦ [1]) τοῦ μικρῷ πρόσθεν πλούτῳ κομῶντος πυνθάνομαι. Ἐν τῷ μεταξὺ τῆς πολυτελεστάτης ἐκείνης περιουσίας οὐκ ἔσθ' ὅπου τὴν σὴν διάνοιαν ἐξ οἱουδηποτοῦν ἀδικήματος ἐθορύβησε λύπη; Οὕτως οὐχ οἷός τε εἰμὶ μεμνῆσθαι, εἶπον, ἐμαυτοῦ ἐλευθέρᾳ χρησαμένου τῇ διανοίᾳ, ὡς μὴ κατά τι διαπαντὸς ἀθύμως ἔχειν. Ἄρ' οὐχ ὅτι γε ἤτοι ἀπῆν ὅπερ οὐκ ἂν ἠβουλήθης ἀπεῖναι, ἢ παρῆν ὃ παρεῖναι οὐκ ἦν σοι προαιρουμένῳ; Ἔχει μὲν οὕτως, ἔφην. Τοιγαροῦν ἐκείνου μὲν τὴν παρουσίαν, τούτου δὲ τὴν ἀπουσίαν δι' ἐφέσεως ἦγες; Ὁμολογῶ σοι. Ὁ δ' ὢν ἐν ἐνδείᾳ τινὸς οὐκ ἔστιν ἑκασταχόθεν αὐτάρκης αὐτὸς ἑαυτῷ; Πολλοῦ γε καὶ δεῖ. Σὺ δὲ τὸ μὴ αὔταρκες τοῦτο πλήρης χρημάτων ἔφερες, εἶπε; Πῶς δ' οὐχὶ, ἔφην; Ἆρα γοῦν ὁ πλοῦτος, εἶπεν, ἀδυνατεῖ ἀνεπιδεᾶ καὶ αὐτάρκη τινὰ ἑαυτῷ ἐκτελέσαι· καίτοι τοῦτ' ἦν ὅπερ ἐδόκει γε ἐπαγγέλλεσθαι. Καὶ μὴν καὶ τοῦτο δὴ μάλιστα λογισμῷ δοῦναι οἰκεῖον οἶμαι, ὡς οὐδὲν οἴκοθέν τε καὶ ἔμφυτον ὁ πλοῦτος ἔχει, ὡς μὴ δύνασθαι ἀφαιρεῖσθαι τῶν κεκτημένων ἀκόντων. Καὶ τοῦτο μὴ οὕτως ἔχειν οὐκ ἀρνήσομαι, εἶπον. Ἀνθ' ὅτου δ' οὐχ ὁμολογήσεις, ἔφη, ὁπότε καθ' ἑκάστην [2]) τῶν ἰσχυροτέρων [3]) ἕκαστος ἁρπάζει τοῦτον παρὰ γνώμην δὴ τῶν ἐχόντων; Πόθεν γὰρ αἱ ἐν ταῖς ἀγοραῖς δίκαι, εἰ μὴ ὅτι γε τὰ χρήματα, ἅπερ ἤτοι βίᾳ ἢ δόλῳ, τῶν ἐχόντων μὴ βουλομένων, ἡρπάγη, ἀπαιτεῖται; Οὕτως ἔχει τἀληθές, ἦν δ' ἐγώ. Προσδεήσεται τοίνυν, ἔφη, συμμαχίας ἔξωθεν, δι' ἧς τὸν ἑαυτοῦ τις ἂν περισώσειε πλοῦτον; Μάλιστα πάντων, εἶπον. Οὐκοῦν οὐκ ἂν προσεδεῖτο τῆς τοιαύτης ἐπικουρίας, ἦ δ' ὅς, εἴ γε μὴ τὸν πλοῦτον ἐκέκτητο, ὃν ἀποβαλεῖν ἐπεφύκει. Οὐδὲ τοῦτο πρεπῶδες, ἔφην, δισταγμῷ δοῦναι. Τοιγαροῦν εἰς τοὐναντίον περιετράπη τὸ πρᾶγμα· ἃ γὰρ αὐτάρκεις ἑαυτοῖς τοὺς ἀνθρώπους ποιεῖν ἐδόκει χρήματα, ἐπακτῆς οὐχ ἧττον βοηθείας καθιστῶσιν ἐν χρείᾳ. Τίς δ' ἂν καὶ τρόπος ἐξευρεθείη, ᾧ τοῦ πλούτου τὸ ἐνδεὲς ἀπορραπισθήσεται; Μὴ γὰρ τοὺς πλουτοῦντας πεινῆν οὐκ ἐγχωρεῖ; μὴ διψῆν οὐκ ἐνδέχεται; μὴ τοῦ χειμερινοῦ ψύχους

---

[1]) MSC. σου. [2]) καθεκάστην. [3]) ἰσχυρωτέρων.

τὰ τῶν πολυχρημάτων οὐκ αἰσθάνεται μέλη; Ἀλλὰ πρόσεστιν, ἐρεῖς, τοῖς εὐποροῦσι χρημάτων τίνι τὴν πεῖναν κορέσουσι, τίνι τὴν δίψαν σβέσουσι καὶ τὸ ψῦχος [1]) ἀποσοβήσουσιν. Ἀλλὰ τοῦτον τὸν τρόπον ψυχαγωγεῖσθαι μὲν τοῖς χρήμασιν ἡ ἔνδεια, ἐξαιρεσθαι δὲ παντάπασιν οἷα τε [2]) ἐστὶν οὐδαμῶς. Εἰ γὰρ αὕτη χαίνουσα μὲν ἀδιάλειπτα, ἀεὶ δέ τι αἰτοῦσα, τοῖς χρήμασι πίμπλαται, ὑπολείπεσθαι ἀνάγκη τὴν πίμπλασθαι πεφυκυῖαν. Ἐῶ λέγειν ὡς τῇ μὲν φύσει βραχύτατα, τῇ δὲ πλεονεξίᾳ οὐδὲν ἀποχρώντως ἔχει. Ὥστ᾽ οὖν, εἰ ὁ πλοῦτος οὔτε παρασαλεῦσαι τὴν ἔνδειαν δύναμιν ἔχει καὶ αὐτὸς δὲ ἰδίαν ἐμποιεῖ, ἐφ᾽ ὅτῳ δὴ αὐτάρκειαν παρέχειν αὐτὸν ὑμᾶς αὐτοὺς πείθετε;

Εἰ καὶ χρυσὸν ῥέοντα πηγῆς πλούσιος
 ἀπλήστως ἀντλεῖ τῇ φιλοχρηματίῃ,
πόντου δ᾽ ἐρυθροῦ μαργάροις δειρὴν στέφει,
 γῆν τέμνει δ᾽ ἐσθλὴν βουσὶν ἀπειρεσίοις,
οὔτ᾽ ἂν μερίμνας κληρονόμος τοῦδ᾽ ἐκφύγοι,
 οὔτε συνέψεται [3]) οἱ πλοῦτος ἀποιχομένῳ.

Ἀλλ᾽ αἱ τῶν ἀξιωμάτων λαμπρότητες τίμιον καὶ σεβάσμιον ἀποδιδόασιν ᾧ προσγίγνονται; Ἔστι δέ τις ταῖς ἐπιτροπείαις ἢ προστασίαις δύναμις, ὡς τὰς μὲν ἀρετὰς ταῖς τῶν χρωμένων ψυχαῖς ἐνσπείρειν, ἀποκρούεσθαι δὲ τὴν κακίαν; Ἀλλ᾽ οὐκ ἔστιν εἰπεῖν· οὐ γὰρ ὅσον οὐ φυγάδα τὴν πονηρίαν ἐλαύνειν, ἀλλὰ καὶ περιφανεστέραν οὐχ ἥκιστα ποιεῖν ἔχουσιν εἰθισμένον· οὗ χάριν καὶ δυσχεραίνομεν καὶ ἀπαξιοῦμεν πολλάκις αὐτὰς ἐγχειρίζεσθαι τοῖς ἀτοπωτάτοις τὴν γνώμην. Ἐντεῦθεν γὰρ καὶ ὁ Κάτουλλος, καίπερ ἐπὶ δίφρου τὸν Νόνιον [4]) καθεζόμενον, κυρτότητά [5]) γε ὅμως ἀποκαλεῖ. Ὁρᾷς ὅσον τοῖς φαύλοις αἶσχος αἱ ἀξιώσεις προστρίβουσιν; Ἧττον δ᾽ ἂν ἐμφανὲς ἐγεγόνει τὸ τούτων ἀνάξιον, εἰ μηδέ τισι τιμαῖς ὅλως ἐνελαμπρύνοντο. Καὶ σὺ δὲ ἄρα μή ποτε τὸν νοῦν τοσόνδε τι κεκινδυνευκὼς ἧς ὑπολαμβάνειν ἀξίαν τινὰ διεξαγαγεῖν ἅμα τῷ Δεκωράτῳ, ὁπότε ψυχὴν ἐν αὐτῷ αἰσχίστου παρασίτου καὶ συκοφάντου ἑώρας; Οὐδὲ γὰρ οἷοί τε ἐσμὲν διὰ τὰς τιμὰς

[1]) MSC. ψύχος. [2]) οἷά τε. [3]) συνάψεται. Texte: *defunctumque leves non comitantur opes.* [4]) Νόννιος. [5]) C'est ainsi que Planude a rendu *struma* de Boëce. Dans Catulle (52, 2) c'est le prénom de Nonius.

ἀξίους αἰδοῦς κρίνειν, οὓς αὐτῶν δὴ τῶν τιμῶν κρίνομεν ἀναξίους. Εἰ γοῦν τινὰ σοφίᾳ κεκοσμημένον εἶδες, ἆρα τοῦτον ᾠήθης ἤτοι σεβάσματος ἢ τῆς σοφίας ᾗ γε κεκόσμηται οὐδαμῶς ἄξιον; Ἄπαγε. Ἔστι γὰρ ἐμπεφυκὸς ἀξίωμα τῇ ἀρετῇ, ὅπερ ἐκ τοῦ παραχρῆμα οἷς ἂν συναφθείη ἐνίησιν. Ἐπεὶ δὲ τοῦτό γε αἱ δημώτιδες ποιεῖν ἀδυνατοῦσι τιμαί, σαφῶς ἀποδέδεικται μηδένα ταύτας ἴδιον ἔχειν ἀξίας κόσμον. Ἐν οἷς κἀκεῖνο συλλογίσασθαι οὐδὲν ἧττον προςῆκεν· εἰ γάρ τις τοσούτῳ μᾶλλον περιοπτέος ἐστίν, ὅσῳ μᾶλλον παρὰ πλειόνων τοιοῦτος καταμανθάνεται, καὶ ἡ ἀξία ἄρα μηδένας ἀνθρώπων ἰσχύουσα σεβασμίους ἀποτελεῖν, εὐκαταφρονήτους ἀποδείκνυσι μᾶλλον καὶ μοχθηροὺς οὓς πλείοσι θεατρίζει. Καὶ μή ποτ' εἰκότως· ἐπεὶ καὶ οἱ φαῦλοι τοῖς ἴσοις ἀμείβονται τὴν ἀξίαν, τῇ ἑαυτῶν ἀκαθαρσίᾳ δηλονότι ταύτην μολύνοντες. Ἵνα δὲ εἰδῇς τὴν ἀληθινὴν ἐκείνην σεβασμιότητα διὰ τῶν σκιωδῶν δὴ τούτων ἀξιωμάτων ἀδύνατον οὖσαν προσγίνεσθαι, εἴ τις συχναῖς ὑπατείαις χρησάμενος πρὸς βάρβαρα τυχὸν οὕτω γένη ἐπιδημήσει, σεβάσμιον αὐτὸν καὶ παρὰ τοῖς βαρβάροις ἡ τῆς ὑπατείας τιμὴ ποιήσει; Πάνυ γε, εἰ τοῦτο δῶρον ἐκ φύσεως τοῖς ἀξιώμασιν ἦν· οὐδαμοῦ γὰρ ἂν τῶν ἐθνῶν κατ' οὐδένα τρόπον τῆς ἰδίας ἔληγεν ἐνεργείας· οἷά που καὶ τὸ πῦρ πανταχοῦ τῆς γῆς οὐκ ἀφίσταται τοῦ θερμαίνειν. Ἀλλ' ὅτι τοῦτο αὐτοῖς οὐκ οἰκεία δύναμις, ἡ δὲ παραπαίουσα τῶν ἀνθρώπων ὑπόληψις χαρίζεται, φροῦδα διὰ ταχέων γίγνονται πρὸς τοὺς ταὐτά γε ἀξιώματα μὴ οἰομένους ἐρχόμενα. Καὶ τοῦτο μὲν παρὰ τοῖς ἀλλοδαποῖς ἔθνεσιν· ἐν ἐκείνοις δὲ παρ' οἷς ταῦτα φύονται, μήτι συμμένουσι διὰ τέλους; Πάλαι μὲν ἦν ἡ στρατηγία ὑπερβάλλουσα ἐξουσία, νυνὶ δὲ κενὸν ὄνομα, καὶ ὁ τῆς συγκλήτου ὄγκος μάταιον ἄχθος. Εἴ τις κατὰ τοὺς ἄνω χρόνους τῆς πρυτανείας προὐστάτει [1]) τοῦ δήμου, μέγας ἐδόκει· νῦν δὲ τί τῆςδε τῆς ἀρχῆς ἀτιμότερον; Καὶ γάρ, ὡς μικρῷ ἔμπροσθεν ἔφαμεν, τὸ τοῦ οἰκείου μὴ εὐποροῦν κάλλους τῇ τῶν χρωμένων ὑπολήψει νῦν λαμπρότητα δέχεται, νῦν αὐτὴν ἀποβάλλει. Εἰ τοίνυν σεβάσματος ἀξίους τὰ ἀξιώματα ποιεῖν οὔμενουν ἰσχὺν ἔχει, εἰ αὐτόθεν τῇ μοχθηρίᾳ βεβηλοῦται τῶν φαύλων, εἴ τι τῶν καιρῶν μεταπτώσει τῆς λαμπρότητος παύεται, εἰ ταῖς τῶν ἀλλο-

[1]) MSC. προυστάτει.

εθνῶν δόξαις τοῦ μηδενὸς ἀξιοῦται, τί ποτέ ἐστι τὸ περικαλλές, ὅπερ ἐν ἑαυτοῖς περιμάχητον ἔχει, μὴ ὅτι γε καὶ ἑτέροις τούτου μεταδιδόναι δύναται;

Εἰ γὰρ καὶ Τυρίοις πότ' ὀστρέοισι
  βρενθύετ' [1]) ἠδὲ λίθοις φαεινοῖς,
πλὴν μισούμενος ἐκράτησε πάντων,
  φεῦ, ὁ Νέρων ἀκόλαστα ῥέζων·
συγκλήτῳ δ' ἐβράβευσεν αὖ τιμάς,
  οἷα κάκιστος ἐὼν [2]), ἀτίμους·
τίς γ' εὐδαίμονα γοῦν λογίσσετ' [3]) ὄγκον,
  ὃν κακοδαίμονες ἐκδιδοῦσιν;

Ἆρα δὲ αἱ βασιλεῖαι καὶ τῶν βασιλέων αἱ οἰκειότητες ὑπὲρ τοὺς ἄλλους ἰσχύειν ἀπεργάσασθαί τινα δύναμιν ἔχουσι; Τί μή; εἴπερ ἡ τούτων εὐδαιμονία μέχρι καὶ ἐς τέλος διήρκει. Ἀλλ' ἔστι πλήρης μὲν παραδειγμάτων ὁ παλαιὸς χρόνος, πλήρης δὲ καὶ ἡ καθ' ἡμᾶς ἡλικία, πόσοι τῶν βασιλέων ταλαιπωρίαν εὐδαιμονίας ἠλλάξαντο. Ὦ περιφανοῦς δυναστείας, τῆς μηδὲ [4]) πρὸς τὸ περισώζειν ἑαυτὴν γοῦν ἅλις εὐσθενῶς εὑρισκομένης. Ὥστ' οὖν εἴ γε αὕτη ἡ τῶν βασιλειῶν ἐξουσία μακαριότητος ἐργάτις ἐστὶν, οὐκ ἄρα, ὅθεν ἐλλείπει, μειοῖ μὲν τὴν εὐδαιμονίαν, ἐπιφέρει δὲ ἀθλιότητα; Ἦν γὰρ καὶ ἐς πλάτος ἡ ἀνθρωπίνη ἐνταθῇ [5]) σκηπτουχία, πλεῖστά γε ἀνάγκη ὑπολείπεσθαι ἔθνη, ὧν ὁστισοῦν τῶν βασιλευόντων οὐκ ἂν αὐταρχήσοι. Ἐξ οἷου δ' ἡ δυναστεία μέρους μακαρίους ποιοῦσα στήσεται, ἐκεῖθεν ἡ ἀδυναμία παραδῦσα ταλαιπώρους καθίστησι· τούτοις οὖν μείζω τὴν κακοδαιμονίας μοῖραν ἀνάγκη πᾶσα παρεῖναι τοῖς περικειμένοις τὰ διαδήματα. Τύραννος γάρ τις τοὺς τῆς ἰδίας τύχης κινδύνους ἠκριβωκὼς, τὸ τῆς βασιλείας περιδεὲς τῷ φόβῳ τοῦ ὑπὲρ κεφαλῆς ἀπηρτημένου ξίφους παρείκασε. Τίς ἥδε τοίνυν ἡ δυναστεία, ἡ μήτε τὰ τῶν φροντίδων ἀπωθεῖσθαι δήγματα, μήτε τὰ τοῦ φόβου κέντρα φυλάττεσθαι δυναμένη; Καίτοι βούλονται μὲν καὶ αὐτοὶ ζῆν ἐν τῷ ἀσφαλεῖ, ἴσχουσι δὲ οὐδαμῶς· κᾆτα τὴν δυναστείαν κομπάζουσιν. Ἤδη γοῦν ἰσχύοντα καὶ δυνα-

[1]) MSC. βρενθύεται. [2]) ὢν. [3]) λογίσετ'. [4]) μὴ δὲ. [5]) ἐνταῦθα, qui ne présente aucun sens. Le texte porte : *quamvis late humana tendantur imperia.*

τὸν κρίνεις, ὃν ὁρᾷς ὀρεγόμενον οὗπερ οὐχ ἱκανῶς ἔχει τυχεῖν; δυνατὸν κρίνεις, ὃς ἑκατέρωθεν τοῖς δορυφόροις περιεστοίχισται; ὃς οὓς καταπλήττει πλέον αὐτὸς δέδοικεν; ὃς ὡς ἂν δυνατὸς εἶναι δοκῇ, ἐν ταῖς τῶν ὑπηρετῶν τοῦτο χερσὶ κείμενον ἔχει; Τί ποτε δὲ καὶ περὶ τῶν τοῖς βασιλεῦσιν οἰκείων ἀποφανοῦμαι, ὅπου γε τὴν βασιλείαν αὐτὴν τοσαύτης ἀσθενείας ἔμπλεων ἀποδέδειχα; Καὶ τούτους γὰρ ἡ βασιλικὴ δυναστεία, ἔστι μὲν ὅτε περιοῦσα, ἔστι δ' ὅτε καὶ καταλυομένη, καθαιρεῖ τε καὶ ἀνατρέπει. Τὸν γοῦν Σενέκαν ὁ Νέρων, οἰκεῖον αὐτῷ καὶ καθηγητὴν ὄντα, εἰς αἵρεσιν ἠνάγκασε τελευτῆς καταστῆναι· τὸν δέ γε Παππιανὸν, ἐκ μακροῦ τὰ μέγιστα δυνάμενον ἐν τοῖς περὶ τὴν αὐλὴν, στρατιωτῶν ὁ Ἀντωνῖνος ἐξέδοτο ξίφεσι. Καίτοι τούτων ἑκάτερος τῆς ἰδίας δυνάμεως ἀφροντιστεῖν ἠθέλησεν· ὧν ὁ Σενέκας τά τε ἑαυτοῦ χρήματα παραδοῦναι τῷ Νέρωνι καὶ ἑαυτὸν εἰς διατριβὴν συνεισφέρειν προεθυμήσατο· ἀλλ' ἡνίκα καταπεσουμένους σφᾶς αὐτὸς ὁ τῆς ἀξίας ὄγκος κατήπειγεν, οὐδέτερος ὅπερ ἐσπούδασεν ἤνυσε. Τίς τοίνυν ἐστὶν αὕτη ἡ δυναστεία, ἣν κατάφοβοί εἰσιν οἱ ταύτης ἐπειλημμένοι; ἣν οὔτε βουλόμενος ἔχειν ἀσφαλείας τυγχάνεις, κἀπειδὰν ἀποτίθεσθαι διανοῇ, ἀπορεῖς ἰσχύος φυλάξασθαι τοὺς ἐχθρούς; Βοηθείας μὲν γὰρ χάριν οἱ φίλοι προσλαμβάνονται, οὓς οὐχ ἡ ἀρετὴ, ἀλλ' ἡ τύχη συννεύειν πρὸς ἀλλήλους ἐποίησεν. Ἀλλ' ὃν ἡ εὐδαιμονία φίλον ἀποτελεῖ, τοῦτον ἡ δυσπραγία ἐχθρὸν ἀπεργάσεται. Τίς δὲ λοιμὸς πρὸς τὸ βλάπτειν ἀνυστικώτερος ἢ ᾠκειωμένος ἐχθρός;

Ὁ θέλων βασιλεὺς μέγας εἶναι
θυμὸν δαμάσαι [1]) δριμὺν οὗτος,
μηδ' αὖ ἐπιθυμίῃ αἰσχρῇ
δειρὴν σφετέρην ὑποθείη·
κἂν γὰρ γένος Ἰνδὸν ἔκαθεν
τὰς σὰς τρομέωσιν ἐφετμὰς,
Θούλη πυμάτη τέ σοι εἴκῃ,
ἔμπης δὲ μερίμνας ἐλάσσαι,
μελέας λύπας τε διῶξαι
μὴ ἴσχοις· τὸ δέ γ' οὐ κράτος ἔσται.

---

[1]) MSC. δαμάσαι; corr. de Weber.

Ἡ δόξα δὲ πόσου μὲν ψεύδους πολλάκις, πόσου δὲ καὶ αἴσχους ἀναπίμπλαται. Ὅθεν δὴ καὶ ὁ τραγικὸς οὐ παρὰ τὸ εἰκὸς ἐξεβόησεν· [1]) Ὦ δόξα, δόξα, μυρίοισι[2]) δὴ βροτῶν οὐδὲν γεγῶσι βίοτον [3]) ὤγκωσας [4]) μέγαν. Πλεῖστοι [5]) καὶ γὰρ πολλάκις ὑπερμέγεθες ὄνομα ταῖς ἐσφαλμέναις τοῦ σύγκλυδος ὄχλου κρίσεσιν ἤραντο· οὗ τί ποτε αἰσχρότερον εἰς διαλογισμὸν ἔρχεσθαι πέφυκεν; Ὧν γὰρ ἡ εὐφημία καὶ τὸ διαβόητον καταψεύδεται, τούτους ἀνάγκη τοῖς ἰδίοις ἐπαίνοις ἐρυθριᾷν. Εἰ δὲ καὶ κατ' ἀξίαν τὰ τῶν ἐπαίνων προΐασι, τίνα προσθήκην ὅμως τῇ τοῦ σοφοῦ συνειδήσει ποιήσονται, τοῦ τὸ οἰκεῖον καλὸν μὴ τοῖς δημώδεσι θρύλλοις, ἀλλὰ τῷ τῆς συνειδήσεως ἀληθεῖ μετροῦντος; Καὶ μὴν εἰ τοῦτ' αὐτὸ τὸ εἰς πολλοὺς ἐκτείνειν τοὔνομα κάλλιστον εἶναι δοκεῖ, ἕπεται τῷ μὴ ἐκτείνεσθαι τὸ ἐπίψογον ὄνομα καλῶς ἔχειν κεκρίσθαι. Ἀλλ' ὡς μικρῷ πρόσθεν διεσαφήσαμεν, πλεῖστά γε εἶναι ἀνάγκη τὰ ποῤῥωτάτω οἰκοῦντα γένη, πρὸς ἅπερ ἑνὸς ἀνθρώπου φήμη ἐφικέσθαι ἀμήχανος γίνεται· ὡς ἐντεῦθεν συγκυρεῖν τὸν παρὰ σοὶ εὐδοξεῖν δοκοῦντα ἄδοξον τοῖς πλησιοχώροις ὑπολαμβάνεσθαι. Πρὸς τούτοις ἐγὼ τὴν δημοτικὴν χάριν καὶ εὔνοιαν οὐδὲ μνήμης ἀξίαν ἡγοῦμαι, τὴν μήτε κρίσει προϊοῦσαν, καὶ οὐκ ἔστιν ὅτε σταθηρὰν διαμένουσαν. Ἤδη δὲ καὶ τὸ τῆς εὐγενείας ὄνομα, ὅτι μάταιον καὶ ὅτι εὐόλισθον, τίς ἀγνοεῖ; Καὶ γὰρ καὶ αὕτη, εἰ μὲν πρὸς τὸ περιφανὲς ἀναφέρεται τῶν προγόνων, ἀλλοτρία ἐστί· δοκεῖ γὰρ ἡ εὐγένεια ἐγκώμιον εἶναί τι ἐκ τῆς εὐδοκιμήσεως κατιὸν τῶν πατέρων· εἰ δὲ ἡ εὐφημία περιφάνειαν ἐμποιεῖ, ἐκείνους ἐπιφανεῖς ἀναγκαῖον εἶναι τοὺς ἀνευφημουμένους. Ὥστ' οὖν ἐπίδοξον καὶ σέ, εἰ μὴ οἰκείαν ἔχεις, ἡ ἀλλοτρία περιφάνεια οὔμενουν ἀπεργάσεται. Εἰ δ' ἄρα ἔστι τι καὶ καλὸν ἐν τῇ εὐγενείᾳ, τοῦτ' οἶμαι μόνον εἶναι τὸ τοῖς εὐπατρίδαις ἀνάγκην ἐπικεῖσθαι δοκεῖν μὴ τῆς τῶν προγόνων ἀρετῆς ἀποπίπτειν.

Πᾶν μερόπων γένος ἐν γαίῃ  
τῆς αὐτῆς ἔφυ ῥίζης·  
εἷς γὰρ πάντων ἐστὶ πατήρ,  
εἷς ὃς πάντα διοικεῖ.

---

[1]) Eurip. Androm. 320. [2]) MSC. μυρίοις. [3]) βίωτον. [4]) ὄγκωσαν. [5]) πλεῖστα. Texte: *Plures enim magnum sæpe nomen, etc.*

Κεῖνος Φοίβῳ δῶκε σέλας,
 μήνῃ δ' αὖτε κεραίην·
κεῖνος καὶ χθονὶ δῶκε βροτούς,
 πόρε καὶ τεῖρε' Ὀλύμπῳ,
καὶ ψυχὰς συνέδησε ῥέθει
 θεόθεν δῆτα κιούσας·
τοίνυν ἅπας τις ἐφημερίων
 βλάστημ' εὐγενὲς αὐχεῖ.
Τίπτ' αὖ φυσᾶσθε προγόνοις;
 ἣν γὰρ ῥίζαν ἐς ὑμῶν
ποιητήν τ' ἀπίδητε θεόν,
 οὐδεὶς δυσγενὲς αἷμα,
εἰ μὴ ὃς αὔξων αἰσχρὰ πάθη
 σφετέρην κάλλιπεν ἀρχήν.

Τί δαὶ περὶ τῶν τοῦ σώματος ἡδονῶν λέξω, ὧν τὴν μὲν ἐπιθυμίαν ἀθυμίας γέμειν εἰκὸς, τὸν δὲ κόρον μεταμελείας; Πόσας ἐκεῖναι νόσους, πόσας ἀνυποίστους ὀδύνας, ὡσανεί τινα τῆς μοχθηρίας καρπὸν, τοῖς τῶν καταχρωμένων εἰώθασι σώμασιν ἐπιφέρειν; Ὧν καὶ ἀγνοῶ τὰ κινήματα εἴ τινος εὐφροσύνης μεμοίραται· ἀλγεινὰς μέντοι τὰς ἐκβάσεις εἶναι τῶν ἡδονῶν, πᾶς τις τῶν ἑαυτοῦ ὀρέξεων εἰς ἀνάμνησιν ἥκων συνήσει. Εἰ μὲν γὰρ αὗται μακαρίους κατορθοῦν εἶχον, οὐδεμίαν αἰτίαν ἐνισταμένην ὁρῶ, μὴ οὐχὶ καὶ τὰ βοσκήματα μακαριότητος προσηγορίᾳ τιμᾶσθαι, ἃ τῇ περὶ τὸ πληροῦν τὴν κοιλίαν σπουδῇ τὸ πᾶν νέμουσιν. Ἦν μὲν ἂν αὖ καὶ συζύγου καὶ φιλτάτων σεμνότατον τὸ τερπνόν· ἀλλὰ πάνυ τῆς φύσεως ὅτι πόῤῥω τινὰ λέγεται, οὐκ οἶδα δ' ὃν, τῶν τεκόντων τυχεῖν κολαστῶν. Ὧν ὁποιαδή τις κατάστασις πόσον ἐστὶ πολυμέριμνος, οὔτ' ἄλλοτε οἷα δὴ πεπειραμένον σε τούτων ὄντα, οὔτε νῦν ὑπὲρ αὐτῶν σχετλιάζοντα διδάσκειν ἀναγκαῖον ᾠήθην. Ἐν ᾧ τὴν γνώμην Εὐριπίδου τοῦ ἐμοῦ ἀξίαν ἀποδοχῆς κρίνω, ὃς τὸν τέκνων ἀπείραστον δυστυχοῦντά φησιν εὐτυχεῖν[2]).

Φύσις ἡδονῆς ἁπάσης
μετὰ τέρψιος προχύσεις[3])
μέροπας μύωπι νύσσειν,
ἀπιοῦσαν αὖ μελίσσης
τρόπον ἐμμόνοις βολαῖσι
κραδίην ἄγαν τιτρώσκειν.

[1]) MSC. ἀπίδοιτε. [2]) Eurip. Androm. 420. [3]) MSC. προσχύσεις.

Ἀμέλει γοῦν οὐδὲν ἐπαμφοτερίζειν χρεὼν, μὴ οὐ ταύτας πρὸς μακαριότητα τὰς ὁδοὺς ἀνοδίας τινὰς εἶναι μᾶλλον, μηδὲ χειραγωγεῖν ἐκεῖσε δύναμιν ἔχειν, ὅποιπερ ὁδηγήσειν ὑφίστανται. Πόσοις γε μὴν τοῖς κακοῖς συμπεφύραται, σημανῶ σοι διὰ βραχέων. Τί γάρ; περὶ χρημάτων συλλογὴν πτοηθήσῃ; ἀλλὰ τῶν ἐχόντων ἀρπάξεις[1]) ταῦτα. Ἀξιώμασι περιφανὴς εἶναι θελήσεις; εἰς γῆν πεσῇ καὶ προσκυνήσεις τῷ ἐγχειρίζοντι, καὶ ὁ τοὺς ἄλλους ὑπερβάλλειν τῇ τιμῇ σπεύδων, τῷ ταύτην αἰτεῖν ταπεινούμενος ἐξευτελισθήσῃ. Δυναστείας ἐπιθυμεῖς; ταῖς τῶν ὑπὸ χεῖρα συνισχημένος ἐπιβουλαῖς συχνοῖς ὑποκείσῃ κινδύνοις. Δόξαν ζητεῖς; ἀλλὰ διὰ πάντων τῶν δυσχερῶν ἐρχόμενος ἀσφαλείας οὐ τεύξῃ. Τεθρυμμένον καὶ χλιδῶντα βίον πρὸ παντὸς ἄγεις; καὶ τίς οὐκ ἀποσκυβαλίσει τε καὶ ἀποστραφήσεται τὸν εἰκαιοτάτου τε καὶ εὐκαθαιρέτου πράγματος, λέγω τοῦ σώματος, δοῦλον; Ἰδοὺ δὲ καὶ οἱ προτιμῶντες ἑαυτῶν τὰ τοῦ σώματος ἀγαθὰ πάνυ μὲν οὐδαμινῇ, πάνυ δὲ καὶ εὐπεριτρέπτῳ τῇ κτήσει χρῶνται. Τί γάρ; τοὺς ἐλέφαντας μὲν μεγέθει, τοὺς δὲ ταύρους ἰσχύϊ διενεγκεῖν ἔχετε; μὴ τοὺς τίγρεις παρελεύσεσθε ταχυτῆτι; Ἐπισκέψασθε τὸ τοῦ οὐρανοῦ πλάτος, τὸ στεγανὸν, τὴν ὠκύτητα, καὶ παύσασθε ὀψὲ γοῦν τὰ μηδενὸς ἄξια θαῦμα ποιούμενοι. Ὃς δὴ οὐρανὸς οὐ τούτοις μᾶλλον παρέχειν ἄξιος ἔκπτηξιν, ἢ τῷ αὐτὸν ἡνιοχοῦντι λόγῳ. Μορφῆς δὲ κάλλος, ὡς μὲν εὐμάραντον πέφυκεν, ὡς δὲ ὠκύμορον καὶ τῶν ἐαρινῶν ἀνθέων ἀφιπτάμενον θᾶττον, οὐκ εἰκὸς ἀγνοεῖν. Εἰ γάρ, ὡς Ἀριστοτέλης φησί, λυγκείοις [2]) ὀφθαλμοῖς ἐχρῶντο οἱ ἄνθρωποι, ὡς τὴν ὄψιν σφῶν καὶ διὰ τῶν ἀντιτυπούντων τοῖς ὄμμασι διϊκνεῖσθαι σωμάτων, οὐκ ἄρα, τῆς τῶν σπλάγχνων οἰκονομίας διοπτευθείσης, ἐκεῖνο τὸ κατὰ τὴν ἐπιφάνειαν ἐκπρεπέστατον Ἀλκιβιάδου σῶμα δυσειδέστατον ὤφθη; Τοιγαροῦν ὥρᾳ [3]) σε διαφέροντα φαίνεσθαι, ἥκιστά γε ἡ σὴ φύσις, ἀλλ' ἡ τῶν ὁρώντων ὀφθαλμῶν ἀσθένεια δίδωσιν. Ἀλλὰ φθονοίητε καθ' ὅσον ὑμῖν βουλητὸν εἶναί τινα σώματος ἀγαθά· καὶ ταῦτ' εἰδότες ὡς αὐτὸ δὴ τοῦτο τὸ πρὸς ὑμῶν θαυμαζόμενον τριημέρῳ πυρετῷ διαλύεσθαι φύσεως ἔτυχε. Καὶ ὡς ταῦτα πάντα συγκεφαλαιωσάσῃ φάναι [4])

---

[1]) MSC. ἀρπάζεις. [2]) λυγγείοις. [3]) ὥρα. [4]) φᾶναι.

τὰ μήτε παρασχεῖν ἱκανῶς ἔχοντα ἅπερ ἐπαγγέλλονται ἀγαθὰ, μήτε τῇ συγκροτήσει τῶν ἀγαθῶν πάντων εὑρισκόμενα τέλεια, ταῦτ' οὔτε πρὸς τὴν μακαριότητα φέρουσιν, ὡσανεί τινες λεωφόροι, οὔτ' οὖν μακαρίους γε καθιστῶσιν.

Αἶ αἶ τίς μελέους πλαζομένους τρίβου
ἄγνοια θνητοὺς ἐκτρέπει;
Οὐ χρυσόν γε τρυγῶσι χλοερῶν φυτῶν
ἢ μαργάρους ἐξ ἀμπέλου,
οὐδ' ἄρκυς τανύουσιν[1]) κατ' ὄρη μακρὰ,
θέλοντες ἰχθῦσι τρυφᾷν,
οὔτ' εἰ δορκάδας ἰχνηλατεῖν δέον,
Τυῤῥηνὸν ἐκδιφῶσ' ὕδωρ.
Καὶ δ' αὐτῆς ἁλὸς ἐγκρυπτόμενον ῥοαῖς
κευθμῶνα πάντ' ἐγνώρισαν,
τίς μὲν χιονέων μαργαριτῶν γέμει,
τίς δ' αἱμοβάπτου [2]) πορφύρας,
καὶ τίς μὲν μαλακὰς ἔλλοπας ἐκτρέφει,
ποία δ' ἐχίνους ἠϊών.
Ποῦ δ' οὖν οὗ ἐφίενται βρύεται καλὸν,
οὐδὲ στέγουσιν εἰδέναι,
Οὔλυμπον δ' ὅγ' ὑπερβὰν φαενὸν κυρεῖ,
ζητοῦσι γῇ κατώρυχες.
Τίπτ' οὖν ἠλιθίοις ἄξιον εὔξομαι;
Ἔχοιεν ὄλβον καὶ κλέος·
εὖτ' ἂν ψευδομένων σχῶσ' ἀγαθῶν βάρος,
τῆμος μάθοιεν τἀτρεκῆ.

Μέχρι μὲν τοῦδε τὴν εἰκόνα τῆς ψευδοῦς εὐδαιμονίας ἅλις γε ὑπεδείξαμεν, ἣν εἰ περιεσκεμμένως ἑώρακας, ἁρμόδιον ἄνωθεν τὴν ἀληθινὴν ἐμφανίσαι. Ἐγὼ δὲ καὶ ὁρῶ δαιμονίως, ἔφην, μήτε τῷ πλούτῳ αὐτάρκειαν, μήτε τῇ βασιλείᾳ ἰσχὺν, μὴ σέβας τοῖς ἀξιώμασι, μὴ εὔκλειαν τῇ δόξῃ, μηδὲ τέρψιν ταῖς ἡδοναῖς οἵαν τε οὖσαν συνενεχθῆναι. Ἡ δ'· Ἆρα δὲ καὶ τὰς αἰτίας, εἶπε, πόθεν [3]) οὕτω ταῦτ' ἔχει κατείληφας; Ἔμφασίν τινα δοκῶ μοι, ἔφην, ἀθρεῖν ὡσπερεί τινα λεπτοτάτην γραμμήν· ἀλλ' ἐκ σοῦ μᾶλλον βουλοίμην ἂν καθαρώτερον γνῶναι. Καὶ μὴν σαφεστάτου, φησί, λόγου τυγχάνει· τὸ γὰρ ἁπλοῦν τῇ φύσει καὶ ἀδιαίρετον ὂν, τοῦθ' ἡ τῶν

[1]) MSC. τανύουσι. [2]) αἱμοβλάπτου. Web. αἱμοβάπτου, vocabulum novum. [3]) πόθον.

ἀνθρώπων διαιρεῖ πλάνη, κἀκ τοῦ ἀληθοῦς καὶ τελείου πρὸς τὸ ψευδώνυμον μετακομίζει καὶ ἀτελές· ἢ δοκεῖ σοι τὸ μηδενὸς ὂν ἐν ἀνδρείᾳ προσδεῖσθαι δυναστείας; Οὐχ ὅσον εἰδέναι με, εἶπον. Ὀρθῶς ἔφησθα· καὶ γὰρ ὅ τι πέρ ἐστιν ἀσθενέστερον, ἰσχύος μετέχον ἔν τινι πράγματι, ἐν τούτῳ συμμαχίας ἀνάγκη πᾶσα προσχρήζειν θύραθεν. Πάνυ μὲν οὖν, ἔφην. Τοιγαροῦν αὐταρκείᾳ τε καὶ δυναστείᾳ μία καὶ ἡ αὐτὴ φύσις ἐστίν. Οὕτω δοκεῖ. Ὃ δὲ τοιοῦτόν ἐστι, πότερα περιοπτέον κρίνεις, ἢ τοὐναντίον σεβάσματος ἀξιώτατον πάντων τῶν ὄντων; Καὶ πῶς ἂν τούτῳ γε ἀμφισβήτησίν τινα δοίην, εἶπον; Προσθῶμεν οὖν τῇ αὐταρκείᾳ καὶ δυναστείᾳ τιμήν, ἵνα δὴ ταῦτα τὰ τρία ἓν θεωρῶμεν ὑπάρχειν. Προσθῶμεν, ἔφην, εἴ γε δὴ μέλλοιμεν ὁμολογεῖν τἀληθῆ. Τί δαί; πότερον ἀφανὲς τοῦτό, φησι, καὶ οὐδαμόθεν νομίζεις γνώριμον, ἢ πάσῃ εὐκλείᾳ περιφανέστατον; Ἐπίστησον γὰρ εἰ τὸ μηδενὸς προσδεόμενον, τὸ δυναστείᾳ ὅτι μάλιστα χρώμενον, τὸ τιμῆς ἀξιώτατον, συγχωρηθήσεται χρείαν περιφανείας ἔχον, ἣν ἑαυτῷ παρασχεῖν οὐκ ἂν ἔχοι, κἀντεῦθεν ἔκ τινος μέρους οὐδεμιᾶς ἄξιον δοκοίη ἐπιστροφῆς. Ἀλλ᾽ οὐχ οἷός τε εἰμί, ἦν δ᾽ ἐγώ, μὴ τοῦτό γε, ὥσπερ οὖν καὶ ἔστιν, ἐπιδοξότατον εἶναι συνθέσθαι. Ἑπόμενον τοίνυν, εἶπε, καὶ τὴν περιφάνειαν τῶν ἀνωτέρω τριῶν μηδὲν διαφέρειν ὁμολογεῖν. Ἑπόμενον, ἔφην. Ὃ τοίνυν οὐδενὸς ἀλλοτρίου χρήζει, ὃ πάντα τῇ ἰδίᾳ ἰσχύϊ δύναται, ὃ σεβάσμιόν τε καὶ εὐδοξότατον πέφυκεν, οὐ κατάλληλον καὶ περιχαρέστατον εἶναι; Ἀλλὰ πόθεν ἂν τῷ τοιούτῳ λύπη παρεισφθαρείη τις, οὐδ᾽ ἐννοεῖν, εἶπον, ἱκανῶς ἔχω· παρ᾽ ὃ καὶ εὐθυμίας ἐμπίπλασθαι, εἴ γε τὰ ἀνωτέρω μενοῦσιν, ἀναγκαῖον ὁμολογεῖν. Οὐκοῦν ἐκεῖνο διὰ τῶν αὐτῶν, εἶπεν, ἐπάναγκες συμπερᾶναι, τῆς αὐταρκείας, τῆς δυναστείας, τῆς περιφανείας, τῆς σεβασμιότητος, τῆς εὐθυμίας, διαλλάττοντα μὲν εἶναι τά γε ὀνόματα, τὴν οὐσίαν δὲ μηδ᾽ ὁπωσοῦν διενηνοχέναι. Ἐπάναγκες, ἔφην. Τοῦτο τοίνυν, ὅπερ ἕν τε καὶ ἁπλοῦν τὴν φύσιν ἐστί, κατατέμνει τῶν ἀνθρώπων ἡ μοχθηρία, καὶ γοῦν πράγματος τοῦ μερῶν χηρεύοντος πειρωμένη μέρους ἐπιτυχεῖν, οὔτε τὴν μερίδα τὴν οὐδαμῇ οὐδαμῶς οὖσαν, οὔτε μὴν αὐτὸ τὸ πρᾶγμα, οὗ ἥκιστα τὸν ἔρωτα τρέφει, καταλαμβάνει. Τρόπον δὲ τίνα, εἶπον; Ὁ μὲν τὸν πλοῦτον διώκων, ἐφ᾽ ᾧ τὴν ἔνδειαν ἐκφευ-

ξεῖσθαι, εἶπε, δυναστείας πέρι καὶ τῶν αὐτῆς οὐδὲν πολυπραγμονεῖ, ταπεινότατός τε εἶναι καὶ ἀφανὴς ἐς τὰ μάλιστα βούλεται· καὶ πολλὰς τῶν κατὰ φύσιν καὶ ταῦτα ἡδονῶν ἑαυτὸν ἀφαιρεῖται, τοῦ μὴ τὸν θησαυρισθέντα πλοῦτον ἀποβαλεῖν. Ἀλλὰ τῷ τρόπῳ τούτῳ οὐδ' αὐταρκείας τυγχάνειν εἰκὸς, ὃν τὸ δύνασθαι καταλείπει, ὃν λύπη τιτρώσκει, ὃν εὐτέλεια καταφρονεῖσθαι ποιεῖ, ὃν ἀφάνεια συγκαλύπτει. Ὁ δὲ μόνου τοῦ δύνασθαι ὢν ἐν ἐπιθυμίᾳ ἀποσκευάζεται πλοῦτον, ἡδονὰς διαπτύει, τιμὴν καὶ δόξαν δυναστείας ἐστερημένην παρὰ φαῦλον ποιεῖται. Ἀλλ' ὁρᾷς ὡς πολλῶν καὶ οὗτος σπανίζει· συμπίπτει καὶ γάρ ποτε τῶν ἀναγκαίων αὐτὸν ἐν σπάνει γιγνόμενον ἄσης καὶ ἀδημονίας πληροῦσθαι, καὶ τὸ λυποῦν μὴ δυνάμενον ἀπωθεῖσθαι, καὶ οὗ μάλιστα ἦν ἐν ζητήσει, τοῦ δυναστείαν δηλονότι περιβεβλῆσθαι, ἀποτυγχάνειν. Ἐκ τοῦ ὁμοίου δὲ καὶ περὶ τιμῶν, δόξης καὶ ἡδονῶν ἐνδεχόμενόν γε διεξιέναι· ἐπεὶ γὰρ ἕκαστον τούτων ταὐτό ἐστιν ὅπερ καὶ τὰ λοιπά, εἴ τις ἕν τι τούτων χωρὶς τῶν ἄλλων ζητεῖ, οὐδ' οὗπερ τὴν ἐπιθυμίαν ἀνείληφεν ἐν καταλήψει γενέσθαι δύναται. Τί τοίνυν, εἶπον; Εἴ τις, ἔφη, πάντων ὁμοῦ τούτων ἐπιτυχεῖν ἐπορέγεται, τὸ κεφάλαιον οὗτος τῆς μακαριότητος χρῄζει· ἀλλὰ μὴ τοῦθ' εὑρήσει ἐν τοῖς πρὸς ἡμῶν ἀποδεδειγμένοις, ὅπερ ὑπισχνοῦνται μὴ δυναμένοις συνεισφέρειν; Οὐ γὰρ οὖν, εἶπον. Τοιγαροῦν ἐν τούτοις τοῖς ὡς ἕκαστα τῶν περισπουδάστων παρέχειν ὑπειλημμένοις ἡ μακαριότης οὐδένα πέφυκε τρόπον ἀνιχνευτέα. Σύμφημι, ἔφην· οὐδὲν γὰρ τούτου μᾶλλον ἀληθείας ἐχόμενον οἷόν τε λεχθῆναι. Ἔχεις οὐκοῦν, εἶπε, τὸν χαρακτῆρα καὶ τὰς αἰτίας τῆς πεπλασμένης εὐδαιμονίας· καὶ τρέψον τὸ ἀπὸ τοῦδε [1]) τὸ τῆς ψυχῆς ὄμμα πρὸς τοὐναντίον· ἐκεῖ γὰρ τὴν ἀληθινήν, ἣν ἐπηγγειλάμεθα, αὐτίκα μάλα περιαθρήσεις. Ὄντως, ἔφην, αὕτη κἂν τυφλῷ διάδηλος εἴη, καὶ ταύτην δὲ μικρῷ ἔμπροσθεν ὑπέγραψας, ἡνίκα τὰς τῆς ἐπιπλάστου αἰτίας ἐπεχείρεις διαλευκαίνειν. Καὶ γάρ, εἰ μή τι με ψεύδει [2]), αὕτη ἐστὶν ἀληθὴς καὶ τελεία μακαριότης, ἥτις αὐτάρκη, δυνατόν, σεβάσμιον, εὐκλεᾶ καὶ εὔθυμον ἀπεργάζεται. Ὡς ἂν δὲ καμὲ εἰδῇς βαθύτερόν τι ἐπιβαλόντα, ἤ γε τούτων ἕν, ἐπεὶ ταὐτὸ

---

[1]) MSC. τοαποτοῦδε. [2]) ψεύδῃ.

πέφυκε πάντα, πρὸς ἀλήθειαν παρασχεῖν δύναται, ταύτην εὐδαιμονίαν, τήν γε ἀληθῶς εὐδαιμονίαν, πάσης ἐκτὸς ἀμφισβητήσεως οἶδα. Ὦ τρόφιμε, καὶ τῆς τοιαύτης ἐπιβολῆς [1]) ἕνεκεν εὔδαιμον, εἶπεν, εἰ καὶ τῷδε προσεπιστήσαις. Ὅτῳ δὲ, ἔφην; Εἶναί τι, φησὶν, ἐν τοῖσδε τοῖς ἀνθρωπίνοις καὶ ὀλισθηροῖς πράγμασιν οἴει, τὸ τοιαύτην τινὶ κατάστασιν δωρεῖσθαι δυνάμενον; Οὐ δῆτ' ἔγωγε, ἔφην, οἶμαι, καὶ τοῦτο πρὸς σοῦ δέδεικται, ὡς μηδὲν ἔτι περαιτέρω ζητεῖσθαι. Ταῦτ' οὖν, εἶπεν, ἤτοι ἔμφασιν τοῦ ἀληθοῦς ἀγαθοῦ, ἢ ἀτελῆ τινὰ δοκοῦσιν ἀγαθὰ τοῖς ἀνθρώποις ὀρέγειν [2]). Συντίθεμαι, εἶπον. Ἐπεὶ τοίνυν εἰς γνῶσιν ἦλθες, ἔφη, τίς μὲν ἡ ἀληθὴς εὐδαιμονία, τίνα δὲ καὶ τὰ περικείμενα προσωπεῖον εὐδαιμονίας, νῦν δὲ μαθεῖν λείπεται πόθεν ἂν τὴν ἀληθινὴν ζητήσειας. Ἐκ πολλοῦ τοῦτο, ἦν δ' ἐγὼ, διαφερόντως ἐκδέχομαι. Ἀλλ' ὡς τῷ ἡμετέρῳ, ἦ δ' ὅς, Πλάτωνι ἐν τῷ Τιμαίῳ δοκεῖ [3]), κἂν τοῖς βραχυτάτοις χρεὼν τὴν θείαν ἐπικαλεῖσθαι βοήθειαν. Τί γοῦν ποιητέον διαγινώσκεις [4]), ὥστε τὴν ἑστίαν τοῦ ἄκρου ἀγαθοῦ εὑρέσθαι ἀξιωθῆναι; Παρακλητέον, ἦν δ' ἐγὼ, τὸν πατέρα πάντων τῶν ὄντων, οὗ γε παραλειφθέντος, οὐδὲν ἐν τῷ ἀσφαλεῖ θεμέλιον καταβάλλεται. Ἔσται ταῦτα, ἦ δ' ὅς· καὶ παραυτίκα οὕτω μελῳδεῖν ἀνεβάλλετο.

Ὦ κόσμοιο κυβερνητὴρ μονίμοισι λόγοισι,
γῆς τε πόλου τε δομῆτορ, ὅτις [5]) χρόνον ἐξ αἰῶνος
πέφραδας ἐξιέναι, στάσιμός τ' ὢν πάνθ' ἅμα κινεῖς,
ὅς γ' οὔκουν ἐξώτεραι [6]) αἰτίαι ὤτρυνον ἔρδειν
ἔργα ῥοώδεος ὕλης, ἀλλ' ἡ ἔμφυτος εἰκὼν
τοῦ ἀγαθοῖο καὶ ἄφθονος, ἀενάοιο [7]) σὺ πάντα
ἐκ παραδείγματος ἱστᾷς, κάλλιστος μάλα καλὸν
νῷ κόσμον φορέων, καὶ ὁμοίῃ εἰκόνι μορφῶν,
καί μιν ἀνώγων ἄρτιον ἄρτια καὶ μέρη αὐχεῖν·
σὺ στοιχεῖ' ἀριθμῷ συνδεῖς, ψύχος ὄφρα φλόγεσσι,
ξηρά θ' ὑγροῖς συνίοιεν, ὅπως [8]) μὴ εἰλικρινὲς πῦρ
ἐκπετάσῃ, χθόνα δ' ἄχθος ἐπιβρῖσαν καταδύσῃ·
σὺ τριπλῆς φύσιος μεσάτην κινοῦσαν ἅπαντα

[1]) ἐπηβολῆς. [2]) Il manque ici la traduction de ces mots : *Verum autem atque perfectum bonum conferre non possunt*, qui complètent la phrase, et qu'on pourrait rendre ainsi : τὸ ἀληθὲς καὶ τέλειον ἀγαθὸν οὐ δύνανται ἐπάγειν.
[3]) Plat. Tim. p. 27. [4]) MSC. διαγινώσκοις. [5]) ὅστις. [6]) ἐξωτερικὰς αἰτίας, corr. de Weber. [7]) ἀεννάοιο. [8]) ὅπερ.

ψυχὴν ζευγνὺς συμφώνοις μέλεσιν διαλύεις,
ἥτις ἀποστᾶσ' ἐν δυσὶ κυκλεύσασά τ' ὀπωπαῖς,
εἰς αὐτὴν αὖ ὑποστρέφει, ἐν δὲ νόον 1) τε βάθιστον
κυκλοῖ, καὶ στρέφετ' ἴκελον οἴκοθεν εἶδος Ὀλύμπῳ·
σὺ ψυχὰς ζωάς τε ἐλάττους αἰτίῃ ἴσῃ
κραίνεις, καὶ ταύτας ἀναείρων ἅρμασι κούφοις
σπείρεις ἐς χθόνα καὶ πόλον, ἃς νόμῳ εὐμενέοντι
πρὸς σὲ παλινδρομέειν πολιτευσαμένας πυρὶ τεύχεις.
Δός, πάτερ, ἠγάθεον ποτὶ θῶκον νοῦν ἀναβῆναι,
δὸς πηγὴν ἀγαθοῦ λεύσσειν, δὸς κύρματι φωτὸς
εἰς σὲ τιμαλφέσι πάντοτε νοῦ βλεφάροις ἀτενίζειν·
ῥῆξον ἐπιχθονίου πάχεος βάρος ἠδέ τ' ὀμίχλην,
σῷ τε φάει κατάλαμπε, σὺ γὰρ σέλας αἴθριον ἐσσὶ
λῆξίς τ' ἠρεμέουσ' ἐσθλῶν, ἵνα σ' ἀθρῶ, τέρμα,
ἀρχὴ, ὁδὸς, προσαγωγὲ, ὁδηγὲ, ὅρος τε ὁ αὐτός.

Ἐπεὶ τοίνυν ἑώρακας τίς μὲν ἡ τοῦ ἀτελοῦς, τίς δὲ καὶ ἡ τοῦ τελείου ἀγαθοῦ εἰκὼν, νυνὶ καθυποδεικτέα οἶμαι ὅπου ἂν ἥδε τῆς μακαριότητος ἡ τελειότης εἴη καθιδρυμένη. Ἔνθα τοῦτο πρώτιστον ἐξερευνητέον εἶναί μοι δοκεῖ, εἰ ἄρα τοιόνδε τι ἀγαθὸν, ὁποῖον διωρίσω μικρῷ πρόσθεν ἐν τῇ τῶν ὄντων φύσει δυνατὸν ὑποστῆναι, μήπως ἡμᾶς τῆς τοῦ ὑποτεθέντος πράγματος ἀληθείας ἐξίτηλος ἔμφασις διαλογισμῶν ἀπαγάγῃ. Ἀλλά γε τοῦτο μὴ εἶναί τε καὶ ὑφίστασθαι, ὡσπερεί τινα πηγὴν τῶν ἀγαθῶν πάντων, οὐκ ἐνὸν 2) ἀπαρνεῖσθαι· πᾶν γὰρ τὸ ἀτελὲς εἶναι λεγόμενον τῷ μειονεκτεῖν τοῦ τελείου ἀτελὲς καταφαίνεται. Κἀντεῦθεν εἰ ὁποιῳδήτινι γένει ἀτελές θεωρεῖταί τι, ἐν τούτῳ καὶ τέλειόν τι ἐξ ἀνάγκης ὑπάρχει. Καὶ γὰρ ὑπεξαιρεθείσης τῆς τελειότητος, πόθεν ἂν τὸ ἀτελὲς ὑποσταίη, οὐδ' ἀνατυποῦσθαι κατὰ νοῦν πέφυκεν. Οὐδὲ γὰρ ἐκ τῶν ἐπὶ μέρους καὶ ἀτελειώτων ἡ φύσις τῶν ὄντων τὴν ἀρχὴν ἐνεστήσατο, ἀλλ' ἐκ τῶν ἀκεραίων τε καὶ τετελειωμένων προβαίνουσα εἰς τὰ τελευταῖα καὶ ἄμοιρα τελειότητος καταπίπτει. Ὥστε εἰ, ὡς μικρὸν ἔμπροσθεν ἀπεδείξαμεν, ἔστι τις ἀγαθοῦ εὐκαθαίρετος καὶ ἀτελὴς εὐδαιμονία, εἶναι καί τινα βεβαίαν καὶ τελείαν οὐκ εἰκὸς εἰς δισταγμὸν ἥκειν. Στεῤῥότατα, εἶπον, καὶ ἀληθέστατα συμπεπέρασται. Ποῦ γοῦν, ἔφη, τὴν οἴκησιν ἥδε ποιεῖται οὕτω μοι σκόπει. Τὸν θεὸν τὸν ἀρχηγὸν πάντων τῶν ὄντων ἀγαθὸν εἶναι

---

1) MSC νόου 2) οὐ κενόν.

τῶν ἀνθρωπίνων ἐννοιῶν ἡ διάληψις δοκιμάζει. Ἐπεὶ γὰρ οὐδὲ ἓν [1]) τοῦ θεοῦ βέλτιον οὐδ᾽ ἐπὶ νοῦν ἀναβῆναι δύναμιν ἔχει, τίς ἂν ἀμφιβάλοι μὴ ἀγαθὸν εἶναι, οὗ μηδέν ἐστι κρεῖττον; Οὕτω δὲ ἀγαθὸν εἶναι τὸν θεὸν ὁ λόγος παρίστησιν, ὡς ἐκνικῆσαι καὶ τὸ τέλειον ἀγαθὸν αὐτῷ προσεῖναι. Εἰ μὴ γὰρ τοιοῦτος εἴη, τῶν ὄντων πάντων ἀρχηγὸς εἶναι ἀδυνατήσει· ἔσται καὶ γάρ τι προφερέστερον ἢ αὐτός, ᾧ τὸ τέλειον ἀγαθὸν ἐσεῖται ἐν κτήσει, καὶ ὃ πρότερον ἐκείνου καὶ ἀρχαιότερον δόξει· τὰ γὰρ τέλεια τῶν ἧττον ἐντελῶν προγενέστερά γε ὑπάρχειν σαφεστάτη πέφυκε πίστις. Ἀμέλει καὶ ἵνα μὴ εἰς ἄπειρον ὁ λόγος προΐοι, ὁμολογητέον τὸν ἄκρον θεὸν τοῦ ἄκρου καὶ τελείου ἀγαθοῦ πληρέστατον εἶναι. Ἀλλὰ τέλειον ἀγαθὸν τὴν εὐδαιμονίαν ὑπεστησάμεθα· οὐκοῦν τὴν ἀληθινὴν εὐδαιμονίαν ἐν τῷ ἄκρῳ θεῷ ἀνάγκη πᾶσα ἱδρῦσθαι. Καταλαμβάνω, ἔφην, καὶ πρὸς οὐδὲν τούτων ἀντειπεῖν οἷός τε εἰμί. Ἀλλὰ δέομαί σου, φησίν, ὅπως ἂν ὁσίως καὶ ἀνεπισφαλῶς ἐκλάβῃς τὸ εἰρημένον, τὸ τὸν ἄκρον θεὸν τοῦ ἄκρου ἀγαθοῦ εἶναι πληρέστατον. Τίνα τρόπον, ἔφην; Ἵνα μὴ τοῦτον, εἶπε, τὸν πάντων τῶν ὄντων πατέρα, τὸ ἄκρον ἐκεῖνο ἀγαθόν, οὗ πεπληρῶσθαι δείκνυται, ἤτοι ἔξωθεν εἰσέσθαι, ἢ οὕτως ἔμφυτον ἔχειν ὑποτοπάζοις, καὶ οἱονεὶ ἔχοντός τε θεοῦ καὶ ἐχομένης μακαριότητος διάφορον τὴν οὐσίαν εἰκάζοις. Καὶ γὰρ εἰ ἔξωθεν ὑποπτεύεις εἰσδεδεγμένον, προτιμότερον ἂν τὸ διδοῦν ὂν τοῦ λαμβάνοντος ἔχοις τεκμαίρεσθαι. Ἀλλὰ τοῦτον πάντων τῶν ὄντων ἐξοχώτατον πάνυ γε ἀξίως ὁμολογοῦμεν. Ὥστ᾽ οὖν τὴν μὲν φύσιν ἕν, τὴν δὲ προςηγορίαν ὑπάρχειν διάφορον. Περὶ τοίνυν τοῦ τῶν ὄντων ἀρχηγοῦ διαλεγομένων νομιζέτω πᾶς τὰ διενηνοχότα ταῦτα συνάπτεσθαι. Πρὸς τούτοις τὸ διῃρημένον τινὸς οὐκ ἔστιν αὐτὸ ἐκεῖνο οὗ διῃρῆσθαι νοεῖται. Διὸ καὶ τὸ τοῦ ἄκρου ἀγαθοῦ τῇ ἰδίᾳ φύσει διεστηκός, τοῦτ᾽ ἄκρον ἀγαθὸν οὐδαμῶς πέφυκεν· ὅπερ οὐ θέμις ὑπονοεῖν περὶ τοῦ θεοῦ, οὗ μηδὲν προφερέστερον εἶναι συμβαίνει. Συνόλως γὰρ φάναι [2]), οὐδενὸς πράγματος φύσις τῆς ἰδίας ἀρχῆς ἀμείνων ὑπάρχει· ὅθεν καὶ τὴν πάντων ἀρχὴν αὐτὴν καὶ ἄκρον ἀγαθὸν κατὰ τὴν ἑαυτῆς φύσιν ἀληθεστάτῳ συμπεραίναιμι λόγῳ.

---

[1]) MSC. οὐδεέν. [2]) φᾶναι.

Ἀψευδέστατα, ἔφην. Ἀλλ' ἄκρον ἀγαθὸν τὴν μακαριότητα δέδοται, εἶπεν, εἶναι. Σύμφημι, ἔφην. Τοιγαροῦν, ἦ δ' ὅς, τὸν θεὸν ὑπάρχειν αὐτὴν τὴν μακαριότητα ἀναγκαῖον ὁμολογεῖν. Οὔτε τοῖς προϋποτεθεῖσιν, ἦν δ' ἐγώ, τἀναντία γινώσκειν ἔχω, κἀκείνοις τὸ παρὸν προστεθὲν ἀκόλουθον ὑπάρχον καταμανθάνω. Ὅρα δέ μοι, φησίν, εἰ καὶ ἐντεῦθεν τοῦτό γε ἰσχυροτέρας [1]) ἀποδείξεως τεύξεται, ὡς δύο ἄκρα ἀγαθὰ ὑποστῆναι ἀδύνατον, τά γε ἴδια καὶ χωρὶς ἀλλήλων ὄντα. Τῶν γὰρ διαφωνούντων ἀγαθῶν προφανὲς μὴ εἶναι θάτερον ὅπερ ἐστὶ θάτερον· ὅθεν οὐδέτερον δύναμιν ἕξει τέλειον εἶναι, ὁπότε γε ἑκατέρου ἑκάτερον λείπεται· ἀλλὰ τὸ μὴ ἐντελὲς ὄν, οὐδ' ἄκρον καθίστασθαι προδηλότατον· οὐδ' ὁπωσοῦν τοίνυν τὰ ἄκρα ἀγαθὰ πεφυκότα δυνατῶς ἔχουσι διῃρῆσθαι. Ὥστε καὶ τὴν μακαριότητα καὶ τὸν θεὸν ἄκρον ἀγαθὸν συνηγάγομεν εἶναι· ἀμέλει καὶ ἡ αὐτή ἐστιν ἄκρα μακαριότης, ἥ γε δὴ καὶ ἄκρα θειότης. Οὐδέν, εἶπον, οὔτ' αὐτοῦ τοῦ πράγματος ἀληθέστερον, οὔτε τῆς διαλέξεως ἰσχυρότερον [2]), οὔτε τοῦ θεοῦ ἀξιώτερον συμπεραίνεσθαι δύναται. Ἐπὶ τούτοις, εἶπεν, ὥσπερ τοῖς γεωμέτραις σύνηθες δεδειγμένων τῶν προβλημάτων ἐπιφέρειν τι ἕτερον, ὅπερ οὗτοι προσαγορεύουσι πόρισμα, οὕτω κἀγώ σοι ὡσὰν [3]) ἐξαίρετόν τι βραβεῖον παρέξω. Ἐπεὶ γὰρ τῇ τῆς μακαριότητος ἐπιτυχίᾳ οἱ ἄνθρωποι μακάριοι γίγνονται, μακαριότης δέ ἐστιν αὐτὴ [4]) ἡ θειότης, ἐκφανέστατον τῇ τῆς θειότητος ἐπιτεύξει μακαρίους σφᾶς γίγνεσθαι. Ἀλλ' ὡς τῇ δικαιοσύνης ἐπιτυχίᾳ δίκαιοι καὶ τῆς σοφίας σοφοὶ ἀποβαίνουσιν, οὕτως ἀνάλογον τοὺς ἐπιτυχόντας τῆς θεότητος θεοὺς ἀνάγκη πᾶσα συνήνεκται γίγνεσθαι. Πᾶς τοιγαροῦν μακάριος θεός. Ἀλλὰ τὴν μὲν φύσιν εἷς ἐστὶ θεός, τῇ δὲ μεθέξει καὶ μετουσίᾳ οὐδὲν τὸ ἀνθιστάμενον ὡς πλείστους ὑπάρχειν. Ὡς περικαλλές, ἔφην, τοῦτο καὶ τίμιον, εἴτε πόρισμα, εἴτε βραβεῖον ἐξαίρετον ὀνομάζειν ἐθέλεις. Ἀλλὰ μὴν [5]) καὶ τοῦδε περικαλλέστατον, εἶπεν, οὐκ ἂν εἴη οὐδέν, ὃ τούτοις συνάπτειν ὑπό γε τῆς ἀκολουθίας τοῦ λόγου προαγόμεθα. Τί δ' ἐστίν, ἔφην; Τῆς μακαριότητος, εἶπε, πολλὰ περιέχειν φανερᾶς οὔσης, πότερον ταῦτα πάντα ἓν ὡσανεὶ σῶμα ταύτης συντίθησι τῷ πολυ-

---

1) MSC. ἰσχυρωτέρας. 2) ἰσχυρώτερον. 3) ὡς ἄν. 4) αὔτη. 5) Ἀλλαμήν.

σχιδεῖ τῶν μερῶν, ἢ πέφυκέ τι τούτων τὸ τῆς μακαριότητος οὐσίαν πληροῦν, πρὸς ὃ τὰ λοιπὰ τὴν ἀναφορὰν ἔχει; Βουλοίμην, ἦν δ' ἐγὼ, τῇ τῶν πραγμάτων αὐτῶν διαμνημονεύσει ἐναργέστατά σε τουτὶ παραστῆσαι. Οὔκουν ἀγαθὸν, ἔφη, διαγιγνώσκομεν τὴν μακαριότητα; Καὶ μάλα γε ἄκρον, εἶπον. Πρόσθες καὶ τοῦτο πᾶσιν ὡς ἐξὸν, ἔφη· καὶ γὰρ ἡ αὐτὴ ἄκρα ἐστὶν αὐτάρκεια, ἡ αὐτὴ ἄκρα δυναστεία, σεβασμιότης τε καὶ εὔκλεια καὶ ἡδονὴ, ἡ μακαριότης εἶναι κρίνεται. Τί τοίνυν; Ἰδοὺ πάντα τὰ ἀγαθὰ, ἡ αὐτάρκεια, ἡ δυναστεία καὶ τὰ λοιπὰ, πότερον οἷά τινα τῆς μακαριότητός ἐστι μέλη, ἢ πρὸς τἀγαθὸν ὡσπερεί τινα κορυφὴν ἀναφέρεται πάντα; Αἰσθάνομαι, εἶπον, ὃ προέθου περιεργάσασθαι· ὅ τι δ' ἂν κατασκευάσαις, ἀκοῦσαι δι' ἐφέσεως ἄγω. Τούτῳ τῷ λόγῳ, ἦ δ' ὅς, τοῦτόν με τὸν τρόπον διαιτῶσαν ἐπίστω. Εἰ ταυτὶ πάντα τῆς μακαριότητος ὑπάρχει μέλη, κἂν τὴν πρὸς ἄλληλα διαφωνίαν ἠσπάζετο· τοιάδε γὰρ τὰ μέλη χρῆται τῇ φύσει, ὡς ἐκ διαφόρων αὐτῶν ἓν σῶμα συντίθεσθαι. Ταῦτα δὲ πάντα ταὐτό γε εἶναι πρὸς ἡμῶν ἀποδέδεικται· ἥκιστα τοίνυν πέφυκε μέλη. Εἰ δ' οὖν ἐξ ἑνὸς ἡ μακαριότης μέλους συμπεπῆχθαι δόξει, ὃ γενέσθαι ἀμήχανον. Καὶ τοῦτ', ἔφην, οὐκ ἀμφισβητήσεως ἄξιον, τὸ μέντοι λεῖπον ἐκδέχομαι. Πρὸς τἀγαθὸν, εἶπε, τὰ λοιπὰ τὴν ἀναφορὰν ἔχειν καθίσταται προὖπτον. Ἐντεῦθεν γὰρ ἡ αὐτάρκεια ζητεῖται, ὅτι ἀγαθὸν κρίνεται· ἐκ τοῦ τοιούτου ἡ δυναστεία, ὅτι δὴ καὶ αὐτὴ ἀγαθὸν εἶναι πιστεύεται· τὸ δ' αὐτὸ καὶ περὶ σεβασμιότητος καὶ εὐκλείας καὶ ἡδονῆς ἐξὸν συλλογίσασθαι. Πάντων τοιγαροῦν τῶν περιμαχήτων ἀκρότης καὶ αἰτία τἀγαθόν ἐστι. Τὸ γὰρ μήτε τῷ ὄντι [1]), μήτε νενοθευμένον ἀγαθόν τι ἔχον ἐν ἑαυτῷ, οὐδ' εἰς ἐπιθυμίαν ἥκειν τινὶ κατ' οὐδένα δύναται τρόπον. Κἀκ τοῦ ἐναντίου δὲ τὰ μὴ τὴν φύσιν ἀγαθὰ, ὅμως γε μὴν τοιάδε δοκοῦντα, ὡς ἐπαληθεύοντα ἀγαθὰ ἐραστὰς ἑαυτῶν τοὺς ἀνθρώπους ποιεῖται. Ὡς ἐντεῦθεν ἄκραν κορυφὴν καὶ αἰτίαν τῶν εἰς ἐπιθυμίαν ἰόντων πάντων τὴν ἀγαθότητα σὺν δίκῃ πιστεύεσθαι. Ὅτου γὰρ χάριν ποθεῖταί τι, ἐκεῖνο μάλιστα φιλεῖσθαι δοκεῖ. Ὥσπερ εἰ καὶ ὑγιείας ἕνεκά τις ἱππάσασθαι βούλεται, οὐ τοσόνδε τι τῆς ἐκ τοῦ

1) MSC. τῳόντι.

ἱππεῦσαι κινήσεως ἐρᾷ, ὡς τοῦ τὴν εὐεξίαν ἀναλαβεῖν. Ἐπεὶ γοῦν πάντα τἀγαθοῦ χάριν ζητεῖται, οὐκ ἐκεῖνα μᾶλλον ἢ αὐτὸ τἀγαθὸν πρὸς ἁπάντων ἐπιποθεῖται. Ἀλλ' οὗ ἕνεκεν τῷ τῶν λοιπῶν ἁλίσκονται οἱ ἄνθρωποι ἔρωτι, τὴν μακαριότητα συγκαθήκαμεν εἶναι· καὶ οὕτω γοῦν ἡ μακαριότης μόνη ζητεῖται. Ἐκ δὲ τοῦ τοιούτου καθαρώτατα φαίνεται καὶ αὐτοῦ τοῦ ἀγαθοῦ καὶ τῆς μακαριότητος μίαν τε καὶ τὴν αὐτὴν ὑπάρχειν οὐσίαν. Οὐδὲν, ἔφην, ὁρῶ ἀνθ' ὅτου τις τοῖς εἰρημένοις ἀσυμφωνεῖν [1]) ἕξει. Ἀλλὰ τὸν θεὸν καὶ τὴν ἀληθῆ μακαριότητα ἓν καὶ τὸ αὐτὸ ἀπεδείξαμεν. Φημὶ γάρ. Θαῤῥούντως τοίνυν ἔξεστι συμπεραίνειν καὶ τὴν τοῦ θεοῦ οὐσίαν ἐν αὐτῷ τῷ ἀγαθῷ καὶ μὴ ἑτέρωθι [2]) καθιδρῦσθαι.

Ἐνταῦθ' [3]) ἥκετε πάντες αἰχμάλωτοι,
τοὺς φέναξ δεσμεῖ βδελυραῖσι σειραῖς
οἰκῶν [4]) ἐν χθονίοις ἔρως λογισμοῖς.
Ἠδ' ἐσεῖθ' ὑμῖν καμάτοιο παῦλα,
οὗτος νηνεμίης ἄκλυστος ὅρμος,
τοῦτο δυστήνοις ἓν ἄσυλον ᾤκται.
Οὔκουν ἃ ψαμάθοις Τάγος [5]) χρυσείαις,
ἢ ἐρυθραῖς Ἕρμος ὀπάζει ὄχθαις,
ἢ ζώνης μαλερῆς ὅμουρος Ἰνδὸς,
ξυμφύρων χλωροὺς πολιοῖς λίθοισι,
λαμπρύνει νοὸς ὄμμα, μᾶλλον οὖν μὲν
πηρὸν ἐγκρύπτει σφετέρῃ σκοτώσει·
πᾶν γὰρ νοῦν ὀροθῦνον, ὡς ἀρεστὸν,
ἢ σπέος γῆς ἢ τέναγος καλύπτει·
φῶς δ' ᾧ γ' ἰθύεται [6]) σθένει τ' Ὄλυμπος,
κωλύει ψυχῆς δνοφερὸν πέσημα.
Τοῦτ' εἴ τις γε δυνήσεται δαῆναι,
φοιβῆς ἀκτῖνος ὑπερφρονήσει.

Δοκοῦντά μοι ταῦτ', ἔφην· πάντα γὰρ ἐῤῥωμενεστάτοις λόγοις διασκευασθέντα καθέστηκεν. Ἡ δέ· Καὶ πόσου ἂν, εἶπε, τιμήσῃ, εἰ τἀγαθὸν αὐτὸ ὅ τι ποτέ ἐστι γνωριεῖς; Οὐ σταθμητοῦ, εἶπον, εἴ μοι καὶ τὸν θεὸν, ὅστις τἀγαθόν ἐστιν, ἐν ταὐτῷ ἐξέσται μαθεῖν. Καὶ τοῦτο, ἦ δ' ὃς, ἀληθεστάτῳ λόγῳ δῆλον ποιήσομαι,

---

1) mot qui ne se trouve que dans Plotin, p. 6. 2) MSC. ἑτέροθι.
3) ἐντεῦθ'. 4) Le texte porte **hebetans**; Planude paraît avoir lu **habitans**. Weber. 5) τέγος. 6) ἰθύετε. Weber ἰθύνεται.

μενόντων δὲ μόνον ἅπερ ὀλίγῳ ἔμπροσθεν συμπεπέρασται [1]). Μενοῦσιν. Οὐκ ἄρα, φησιν, ἀπεδείξαμεν τὰ τοῖς πολλοῖς ἐπιζητούμενα τούτου χάριν ἀληθῆ καὶ τέλεια μὴ ὑπάρχειν ἀγαθά, ἐπείπερ ἀλλήλων δεήρτηται, καὶ θάτερον παρὰ θάτερον ἀδυνατεῖ τὸ πλῆρες καὶ ἀπόλυτον ἀγαθὸν ἐπιφέρειν; τότε δὲ τἀληθὲς ἀγαθὸν παραγίνεσθαι, ἐπειδὰν πρὸς ἓν οἱονεὶ πρόσωπον καὶ ἐνέργειαν συσπειραθῇ ταῦτα καὶ καθ᾽ ἓν γένηται, ἵν᾽ ὅπερ ἐστὶν αὐτάρκεια, τοῦτο αὐτὸ καὶ ἡ δυναστεία ᾖ καὶ σεβασμιότης καὶ εὔκλεια καὶ χαρά· ἢν δὲ μὴ ἓν καὶ τὸ αὐτὸ πάντα ᾖ, μηδὲν ἔχειν δι᾽ οὗπερ ἐν τοῖς ἀξιοσπουδάστοις ἐξετασθήσεται; Καὶ ἀποδέδεικται, εἶπον, καὶ ἀμφιβάλλειν οὐκ ἔστιν. Οὐκοῦν, ἔφη, τὰ ἐν μὲν τῷ διΐστασθαι ἥκιστα πάντων ἀγαθὰ πεφυκότα, ἡνίκα δὲ τοῦ ἓν εἶναι ἄρξονται ἀγαθὰ γιγνόμενα, οὐκ ἄρα ταῦτα, ὥστε ἀγαθὰ εἶναι, τῇ τῆς ἑνάδος ἐπιτυχίᾳ συμβαίνει γίγνεσθαι; Οὕτως, ἔφην, δοκεῖ. Πᾶν δὲ τὸ ἀγαθὸν ὑπάρχον τῇ τοῦ ἀγαθοῦ μετουσίᾳ ἀγαθὸν εἶναι συγχωρεῖς, ἢ οὔ; Οὕτως ἔχει. Δεῖ τοίνυν τὸ αὐτὸ ἕν τε εἶναι καὶ ἀγαθὸν κατὰ τὸ ἀνάλογον συγχωρεῖν· ἡ γὰρ αὐτὴ τούτων ἐστὶν οὐσία, ὧν κατὰ φύσιν μὴ διῴκισται ἡ ἐνέργεια. Οὐκ ἔστιν ἄρνησις τούτων, εἶπον. Μεμάθηκας γοῦν, ἔφη, καὶ τοῦτο, ὡς τῶν πραγμάτων ἕκαστον μέχρις ἐκείνου διαμένει τε καὶ συνίσταται μέχρι καὶ ἓν ἐστι, φθείρεται δὲ ὡσαύτως καὶ διαλύεται ὡς θᾶττον τοῦ ἓν εἶναι παύεται; Πῶς ποτέ, εἶπον; Ὡς ἐν τοῖς ζώοις, φησίν· ὅτε μὲν γὰρ εἰς ἓν συνίασί τε καὶ συμμένουσι τό τε σῶμα καὶ ἡ ψυχή, τὸ τοιοῦτο ζῷον καλεῖται· ἡνίκα δὲ ἡ ἑνότης τῷ τῶν ἑκατέρων χωρισμῷ διαλύεται, καὶ τὸ ζῷον ἀπόλλυσθαι καὶ οὐκέτ᾽ [2]) εἶναι παντάπασιν εὔδηλον. Καὶ αὐτὸ δὲ τὸ σῶμα, ἔστ᾽ ἂν μία μορφὴ [3]) καὶ τῶν μελῶν μένῃ συνθήκη, ἀνθρώπου τυχὸν ὄψιν παρέχεται· εἰ δὲ καταμελισθέντα καὶ διακριθέντα τὰ μέλη τοῦ σώματος προσαφαιρήσεται τὴν ἑνότητα, λήγει τοῦ εἶναι ὃ γέγονε. Τὸν δὲ τρόπον τοῦτον ἐπιόντι, καὶ τὰ λοιπὰ φανήσεται ἀναμφισβητήτως ἕκαστον συνεστάναι, ἕως ἐστὶν ἕν· ὅτε δὲ τοῦ ἓν εἶναι στήσεται, φθείρεσθαι. Σκοπουμένῳ μοι, ἔφην [4]), ὡς πλεῖστα οὐδὲν ἕτερον ἀναφαίνεται. Ἓν ἐστι τοίνυν ἐφ᾽ ὅσον ἐν τῷ κατὰ φύσιν διαγίνεταί τι, ἀποσεισάμενον τὴν

---

[1]) MSC. συμπεπέρασθαι, μενοῦσιν. [2]) οὐκ ἔτ᾽. [3]) μιᾷ μορφῇ. [4]) ἔφη.

τοῦ συνίστασθαι ὄρεξιν ἐπιθυμῆσαι πρὸς ὄλεθρον ἐλθεῖν καὶ φθοράν. Εἰ τὰ ζῶα, ἦν δ' ἐγώ, κατανοήσαιμι τὰ φύσιν τινὰ τοῦ θέλειν ἔχοντα καὶ μὴ θέλειν, οὐδὲν εὑρίσκω ᾧ ἄν, μηδενὸς ἔξωθεν βιαζομένου, διώσαιντο μὲν τὴν τοῦ διαμένειν αἵρεσιν, ἑκόντα δὲ πρὸς φθορὰν ἐπειχθεῖεν [1]. Παντὶ μὲν γὰρ τῷ ζωῆς μετέχοντι μέλει πρὸ πάντων τοῦ συντηρεῖν μὲν τὴν ἑαυτοῦ σωτηρίαν, θάνατον δὲ καὶ ἀπώλειαν ἀποτρέπεσθαι. Τί δὲ περὶ βοτανῶν τε καὶ δένδρων, τί περὶ τῶν πάντῃ ἀψύχων ἀποφανοῦμαι, παντάπασιν ἀπορῶ. Καὶ μὴν οὐδέν ἐστιν, εἶπεν, ὅσα περὶ τούτου πρὸς δισταγμὸν ἥκειν προτρέψεται, ὁπότε καὶ πόας καὶ δένδρα ὁρᾷς εὐθὺς ἐξ ἀρχῆς τοῖς ἐπικαιροτάτοις καὶ προσφυέσι βλαστάνοντα τόποις, ἔνθα γε, ὅσον τὸ ἐπὶ τῇ τούτων εἶναι φύσει, οὐχ ἕξει θᾶττον ἀφαυανθῆναι καὶ ἀπολέσθαι. Ἄλλα μὲν γὰρ κατὰ τὴν ὀρεινήν, ἄλλα δὲ κατὰ τὴν πεδιάδα φύεται, ἄλλα τρέφουσιν αἱ λίμναι, ἄλλα ταῖς πέτραις προςφύεται, ἑτέρων αἱ στεῖραι πλήθουσι ψάμαθοι, ἅπερ εἰ πρὸς ἕτερόν τις μετενεγκεῖν ἐπιβάλοιτο χῶρον, ξηρανθήσεται. Δίδωσι γὰρ ἡ φύσις ἑκάστῳ τὸ πρόσφορον, πᾶσαν τιθεμένη σπουδήν, ὡς μὴ ἄν, ἡνίκα γε καὶ ἐφόσον μένειν δύναται, φθορὰν ὑπομεῖναι. Τί δὲ τοῦτο φῄς, ὡς πάντα, οἱονεί τι στόμα κατὰ γῆς καθιέντα, τὴν τροφὴν ταῖς ῥίζαις ἐκεῖθεν ἕλκει, καὶ διὰ τῆς ἐντεριώνης τε καὶ στελέχους καὶ φλοιοῦ διασκίδνησι; Τί δ' ὡς τὸ μαλθακώτατον πᾶν καὶ ὡσὰν [2] μυελὸς κατὰ τὸν ἐνδότερον ἐμφωλεύει χῶρον ἀεί, περὶ δὲ τοῦτο ξύλου τίς ἐστιν εὐτονία, ἔσχατος δ' ὁ φλοιὸς πρὸς τὰς τοῦ οὐρανοῦ καταιγίδας, ὥσπερ τις φερέπονος προβέβληται πρόμαχος; Ἤδη δὲ καὶ πόση τίς ἐστιν ἡ τῆς φύσεως ἐπιμέλεια, ὥστε πάντα πολυπλασιαζομένου τοῦ σπέρματος πρὸς πλῆθος ἐπιδιδόναι. ἃ πάντα οὐχ ὅτι τὰ πρὸς καιρὸν παραμένειν, ἀλλὰ καὶ τῇ διαδοχῇ μέχρι παντὸς διαμένειν, ὥσπερ τινὰς μηχανὰς τῆς φύσεως οὔσας, οὐδεὶς ἀγνοεῖ. Καὶ γοῦν καὶ ἃ δοξάζομεν ἄψυχα, οὐχ ὅπερ τούτων ἑκάστῳ ἁρμόδιον καὶ οἰκεῖον ζητεῖ κατὰ τὸ ἀνάλογον; Πόθεν γὰρ τὸ μὲν πῦρ ἡ κουφότης ἄνω κομίζει, τὴν δὲ γῆν κάτω τὸ βάρος πιέζει, εἰ μὴ ὅπερ ἑκατέροις οὗτοί τε οἱ τόποι καὶ αἱ κινήσεις συμβαίνουσιν, ὅτι καὶ τὸ ὁμόλογόν τινι καθεστὼς καὶ ἕν, ἐκεῖ-

---

[1]) MSC. ἐπιχθεῖεν. [2]) ὡς ἄν.

νο διατηρεῖ, οἷά που καὶ τὰ διαφωνοῦντα λυμαίνονταί τε καὶ φθείρονται; Ἰδοὺ δὲ καὶ τὰ φύσιν ἀντίτυπον ὡς λίθοι λαχόντα προσίσχεταί τε κραταιῶς τοῖς ἑαυτῶν ἐνισχυριζόμενα μέρεσι, καὶ ἀπομάχεται μὴ ῥᾳδίαν τὴν ἑαυτῶν διάλυσιν καὶ ῥῆξιν ὑπάρχειν. Τά γε μὴν διαφανῆ, ὡς ἀήρ τε καὶ ὕδωρ, εὐπετῶς μὲν εἴκει τοῖς διαιροῦσι, τὴν ταχίστην δὲ πάλιν πρὸς τὰ ὧν διέστη ἀνατρέχει καὶ ἀναχεῖται· τὸ μέντοι πῦρ διαπέφευγε πᾶσαν διαίρεσιν. Ἀλλ' ἡμεῖς τὸ νῦν ἔχον οὐ περὶ τῶν αὐθαιρέτων τῆς γνῶσιν ἐχούσης ψυχῆς κινήσεων, τῆς δὲ φυσικῆς διέξιμεν διαθέσεως. Ὥσπερ που τὰ ληφθέντα σῖτα μηδὲν ἐπ' αὐτοῖς διαλογιζόμενοι πέττομεν, κἂν τοῖς ὕπνοις ἀγνοοῦντες πνοὴν ἕλκομεν· οὐδὲ γὰρ οὐδ' ἐν τοῖς ζώοις ὁ τοῦ μένειν ἔρως ἐκ προαιρέσεως ψυχικῆς, ἀλλ' ἐκ τῶν φυσικῶν ἀρχῶν ἔρχεται. Καὶ γὰρ πολλάκις αἰτίας συνελαυνούσης τινὸς ἐφῷ τὸν βίον ὑπεξελθεῖν, τὸν θάνατον, ὃν ἡ φύσις πέφρικεν, ἀσπάζεται ἡ προαίρεσις· κἀκ τοῦ ἐναντίου δὲ, ὃ μόνον τὰ τῶν ἀνθρώπων διαρκεῖν παρέχει πρὸς μονιμότητα, τὸ τῆς σπορᾶς δηλαδὴ, ἡ μὲν φύσις ἀειδήποτε ζητεῖ, ἡ δὲ προαίρεσις ἔσθ' ὅπου ἐπέχει. Τοιγαροῦν ἡ τοιαύτη τῶν ζώων πρὸς τὸ διαμένειν φιλία οὐκ ἐκ τῆς ψυχικῆς κινήσεως, τῆς δὲ φυσικῆς διαθέσεως πρόεισι. Δέδωκε γὰρ ἡ πρόνοια τοῖς ὑπ' αὐτῆς δημιουργηθεῖσι ταύτην καὶ μεγίστην τοῦ διαμένειν αἰτίαν, τὸ διαμένειν ἐφίεσθαι μέχρι καὶ ἐς ὃ φυσικῶς ἴσχουσι τῆς διαμονῆς ἀπολαύειν. Ὥστε καὶ οὐκ ἔστιν οὐδὲν ᾧ δυνήσῃ ταλαντευθῆναί πως τὴν γνώμην, μὴ πάντα τὰ ὄντα τὸ πάγιον ζητεῖν [1]) κατὰ φύσιν τοῦ διαμένειν, ἀποκρούεσθαι δὲ τὴν φθοράν. Ὁμολογῶ, ἔφην, νῦν ἀναμφιβόλως ὁρᾶν τὰ δοκοῦντα πρόσθεν ἀμφισβητήσιμα. Ὃ δὲ, εἶπε, συνίστασθαί τε καὶ διαμένειν γλίχεται, τοῦτο ἓν εἶναι ποθεῖ· τούτου γὰρ ὑπεξαιρεθέντος οὐδὲ τὸ εἶναί τι καθάπαξ παραμενεῖ. Τουτὶ μᾶλλον παντὸς ἀληθὲς, ἔφην. Πάντα τοίνυν, εἶπε, τοῦ ἑνὸς ἐφίεται. Καὶ μάλα. Ἀλλὰ τὸ ἓν, τοῦτ' αὐτὸ ἀπεδείξαμεν ὅπερ δὴ καὶ τὸ ἀγαθόν. Σύμφημι. Πάντα τοίνυν τἀγαθὸν ζητεῖ, ὃ δὴ καὶ οὕτως ὑπογράφειν εἰκὸς, τοῦτο ἀγαθὸν εἶναι, οὗ πάντα ἐφίεται. Οὐδὲν, εἶπον, ἀληθέστερον τούτου εἰς λογισμὸν ἐξὸν

---

1) MSC. ζητεῖ.

ἀναβῆναι. Καὶ γὰρ ἤτοι πρὸς οὐδὲν ἀναφέρεται τὰ πάντα, καὶ τοῦ ἑνὸς ὡσανεὶ κεφαλῆς ἀφεστηκότα τινὸς, ἔρημα τοῦ κυβερνῶντος διαῤῥυήσεται, ἢ εἴ τι πέρ ἐστι πρὸς ὃ πάντα συντείνει, τοῦτο ἔσται πάντων τῶν ἀγαθῶν ἡ ἀκρότης. Ἡ δέ· Ὡς ὑπερήδομαι, εἶπεν, ὦ τρόφιμε· κατὰ γὰρ μέσον αὐτὸν τὸν τῆς ἀληθείας σκοπὸν τοῖς λογισμοῖς ἔβαλες· ἀλλ' ἐν τούτοις ἐξεῤῥάγη καὶ ἀνεκαλύφθη σοι ὃ πρὸ βραχέος ἀγνοεῖν ἔλεγες. Τὸ ποῖον, ἔφην; Τί ἂν εἴη τῶν ὄντων, εἶπε, τὸ τέλος. Ἐκεῖνο γάρ ἐστιν ἀναντιῤῥήτως οὗ πάντα ἐφίεται, ὅπερ ἐπειδὴ τὸ ἀγαθὸν συνηγάγομεν εἶναι, δεῖ καὶ τὸ πάντων τῶν ὄντων τέλος τἀγαθὸν εἶναι ὁμολογεῖν.

Ὅστις βαθείᾳ τἀτρεκὲς διφᾷ γνώμῃ,
ποθεῖ τε μὴ μακραῖς ἀνοδίαις πλάζεσθαι,
ἐσωτάτω μὲν ὄμματος φῶς δινείτω,
ὁρμὰς δὲ τὰς θύραζε μὴ συγχωρείτω,
διδαξάτω τε νοῦν ὅ τι περ ὃ ζητεῖ,
ἐν τοῖς ταμείοις τοῖς ἑαυτοῦ συγκρύπτει,
καὶ φῶς, ὅπερ κάλυψε πρὶν πλάνης ἀχλὺς,
εἰλικρινέστερόν γε καὶ Φοίβου λάμψει·
οὐ γὰρ δίωξε σύμπαν ἐκ νόου φέγγος
τὸ σῶμ', ἐνεγκὸν σύντροφον πάχος λήθῃ [1]),
ἀλλ' ἐμπύρευμα τἀτρεκοῦς ἔνδον λείφθη,
ὃ τῷ ῥιπισμῷ τῶν μαθημάτων σκαίρει·
ἢ πῶς ἐρωτηθέντες εὖ διαιτᾶτε,
εἰ μὴ γ' ἔναυσμα καρδίας μυχοῖς ἕζῃ;
ὥστ' εἰ Πλάτωνος Μοῦσα νημερτῶς ᾄδει,
ὃ μανθάνει τις, λαθόμενος ἀναπεμπάζει.

Ἐν τούτοις ὑπολαβών· Διαφερόντως αὐτὸς, εἶπον, τῷ σοφῷ συντίθεμαι Πλάτωνι· ἤδη γάρ με δὶς τούτου ἀνέμνησας, τὸ πρότερον [2]) μὲν τὴν μνήμην τῷ σωματικῷ πάχει, τὸ μετὰ τοῦτο δὲ τῇ τῆς λύπης ἀχθηδόνι ἀποβαλόντα. Ἡ δέ· Εἰ τοῖς πρόσθεν συγχωρηθεῖσιν, ἔφη, προσέχεις τὸν νοῦν, οὐδ' ἐκεῖνο μακρὰν ἀπέσται μὴ οὐκ εἰς τὴν σὴν ἀνάμνησιν ἀφικέσθαι, ὅπερ ἐν τοῖς πρὸ τοῦ ὡμολόγησας ἀγνοεῖν. Τὸ ποῖον, εἶπον; Τίσιν ἡνίαις ὁ κόσμος, ἔφησε, διοικεῖται. Μέμνημαι, ἦν δ' ἐγὼ, τὴν ἐμαυτοῦ ἄγνοιαν ὁμολογήσας· τί δ' ἐπὶ τούτοις ἐπάξεις ἤδη μὲν αὐγάζομαι, βου-

---

[1]) MSC. λήθη. corr. de Weber. [2]) τοπρότερον.

λοίμην δ' ἂν ἐκ σοῦ μαθεῖν ἀκριβέστερον. Τὸν κόσμον, εἶπε, τοῦτον μὴ ὑπὸ τῷ Θεῷ διεξάγεσθαι μικρὸν ἔμπροσθεν οὐκ ᾤου δεῖν ἀμφιβάλλειν. Οὐδὲ τανῦν, ἔφην, οἴομαι, οὐδ' εἰς τὸ μετέπειτά γε ἀμφήριστον οἰηθήσομαι· τίσι γε μὴν πρὸς τοῦτο λόγοις ἔρχομαι, διὰ βραχέων ἐκθήσομαι. Ὁ κόσμος οὗτος οὐκ ἄν ποτε ἐξ οὕτω διαφόρων τε καὶ ἐναντίων μερῶν εἰς εἶδος ἓν συνετέθειτο, εἰ μὴ εἷς ἦν, ὃς ὅπερ συνεστήσατο καὶ συνέχει. Ἀλλ' οὐδὲ μὴν ἡ τῆς φύσεως τάξις οὕτω βεβαία προὐχώρει, οὐδὲ τὰς διωρισμένας κινήσεις τόποις, καιροῖς, ἐνεργείαις, διαστήμασι, ποιότησι διηυθέτει, εἰ μὴ εἷς ἦν ὁ τάσδε τὰς τῶν μεταβολῶν ποικιλίας οἰκονομῶν, αὐτὸς ἀμετάβλητος μένων. Τοῦτο δ' ὅ τι πέρ ἐστι, δι' οὗ τὰ γεγονότα τὴν διαμονὴν ἔχει καὶ διϊθύνεται, τῷ συνήθει πᾶσιν ὀνόματι προσαγορεύω Θεόν. Ἡ δέ· Ἐπείπερ οὕτω ταῦτα συννοεῖς, εἶπε, μικρὸν ὑπολελεῖφθαι δοκῶ μοι τὸν πόνον, ὥστε σε τῆς εὐδαιμονίας ἐπιτυχόντα, ὑγιαίνοντα ἐπανήξειν εἰς τὴν πατρίδα· ἀλλ' ἐπισκεπτώμεθα νῦν ἃ προὐθέμεθα. Οὐκ ἀπηριθμησάμεθα τὴν αὐτάρκειαν ἐν τῇ μακαριότητι, τόν τε Θεὸν αὐτὴν εἶναι δεδώκαμεν τὴν μακαριότητα; Οὐκ ἄλλως ἔχει. Καὶ πρὸς τὸ διέπειν τοίνυν τὸν κόσμον οὐδεμιᾶς αὐτὸς ἔξωθεν προσδεήσεται συνεργείας· εἰ δὲ μὴ οὐχ ἕξει τὴν αὐτάρκειαν πλήρη. Ταῦθ' οὕτως ἔχειν ἀναγκαῖον. Δι' ἑαυτοῦ τοιγαροῦν μόνου τὰ πάντα διαχειρίζει. Οὐδὲ τοῦτ' ἀρνεῖσθαι δυνατῶς ἔχω. Καὶ μὴν ὁ Θεὸς αὐτὸ τἀγαθὸν εἶναι δέδεικται. Μέμνημαι, εἶπον. Διὰ τοῦ ἀγαθοῦ ἄρα διατάττεται πάντα· καὶ εἰ δι' ἑαυτοῦ τὸ πᾶν πηδαλιουχεῖ, ἔστι πάντως ὡσανεί τις οἴαξ, δι' οὗ τὸ κοσμικὸν κατασκεύασμα στάσιμον συντηρεῖται καὶ ἀδιάφθορον. Ὑπερβαλλόντως [1]) συντίθεμαι, εἶπον· καὶ τοῦτό σε πρὸ μικροῦ λέξειν δι' ἀμυδρᾶς ἐμφάσεως κατεφώρασα. Πείθομαι, εἶπεν· ἤδη γὰρ ὡς ἔχω στοχάζεσθαί σου γρηγορώτερον πρὸς τὴν τῶν ἀληθῶν ὄψιν μετάγεις τοὺς ὀφθαλμούς. Ἀλλὰ καὶ ὅπερ ἐρῶ οὐδὲν μεῖον δῆλόν ἐστιν, ὥστ' αὐτὸ συντεκμήρασθαι. Τὸ ποῖον, ἔφην; Ἐπεὶ πάντα, φησί, τῷ τῆς ἀγαθότητος οἴακι κυβερνᾷν ὁ Θεὸς σὺν δίκῃ πιστεύεται, καὶ πάντα ὡς ἐδίδαξα πρὸς τὸ ἀγαθὸν ἐπείγεται τῇ φυσικῇ διαθέσει,

---

[1]) MSC. ὑπερβαλόντως.

μήτι γε ἀμφιβάλλειν εἰκὸς μὴ ἐθελοντὴν ταῦτα ἡνιοχεῖσθαι, καὶ πρὸς τὸ τοῦ διατιθέντος ἐπιστρέφεσθαι νεῦμα, ὡσανεὶ σύνδρομα καὶ πειθαρχοῦντα τῷ ἐπιστατοῦντι; Ἀναγκαίως, εἶπον, τοῦθ᾽ οὕτως ἔχειν· οὐδ᾽ ἂν εὐδαίμων ἡ τοιαύτη γε ἦν προστασία· ἦν γὰρ ἂν ἀφηνιαζόντων ζυγὸς, οὐ πειθηνίων σωτηρία τε καὶ συντήρησις. Οὐκ ἔστιν οὐδὲν τοιγαροῦν, εἶπεν, ὃ τὴν φύσιν φυλάττον [1]) ἀπεναντίας ἰέναι πειράσεται τῷ θεῷ. Οὐδὲν, ἔφην. Τί δ᾽, εἰ ἐπιχειρήσει, φησί; προκόψει τὸ σύνολον [2]) ἐναντία τοῦ τῷ λόγῳ τῆς μακαριότητος ὁμολογηθέντος ἰσχυροτάτου [3]); Οὐκ ἀνύσει τὸ σύμπαν [4]), ἔφην, οὐδέν. Οὐδὲν τοίνυν ἐστὶν, εἶπε, τὸ τῷ ἄκρῳ τουτωῒ ἀγαθῷ ἢ βουλόμενον ἢ δυνάμενον ἀντιστῆναι. Οὐδὲν, ὡς οἶμαι. Ἔστι τοιγαροῦν ἄκρον, φησὶν, ἀγαθὸν, τὸ ἰσχυρῶς τε τὰ πάντα διοικοῦν καὶ ἠπίως [5]) διατιθέν. Ἐν τούτοις αὐτὸς τὸν λόγον διατεμών· Ὦ πόσης με πληροῖ τῆς ἡδονῆς, εἶπον, οὐ μόνα τὰ ταῖς τῶν λόγων ἀνάγκαις συμπερανθέντα, πολλῷ δὲ πλέον καὶ τὰ ῥήματα ταῦτα οἷς κέχρησαι. Ὡς καὶ τὴν ἐν ἐμοὶ πρόσθεν οὖσαν πολλὴν ἀποβαλλόμενον νηπιότητα δεινῶς ἐρυθριᾷν. Ἡ δὲ τῶν προτέρων ἐχομένη· Μεμάθηκάς, φησιν, ἐν τοῖς μύθοις τοὺς ἐνοχλοῦντας τῷ οὐρανῷ γίγαντας, ἀλλὰ κἀκείνους, ἧπερ ἦν ἄξιον, ἡ πραεῖα διέθηκε δύναμις. Βούλει δὲ τοὺς λόγους αὐτοὺς ἀλλήλοις συγκρούσωμεν; ἴσως ἐκ τῆς τοιᾶσδε συναῤῥάξεως διαπρεπής τις ἐκπηδήσει τῆς ἀληθείας σπινθήρ. Κατὰ σὴν, εἶπον, γνώμην γενέσθω. Τὸν θεὸν, ἔφη, μὴ πάντα δύνασθαι οὐκ ἔστιν ὅστις εἰς δισταγμὸν ἔρχεται. Οὐδεὶς, εἶπον, ἄρτια φρονῶν τῇ ψυχῇ τούτου γε ἕνεκεν ἐνδοιάσει. Ὁ δὲ τὰ πάντα, φησὶ, δυνάμενος οὐδέν ἐστιν ὃ μὴ δύναται; Οὐδὲν, εἶπον. Ἆρα τοίνυν ὁ θεὸς ποιεῖν τὸ κακὸν δύναται; Οὐ δῆτα. Τὸ κακὸν τοίνυν, εἶπεν, οὐδέν ἐστιν, ἐπειδὴ τοῦτο ποιῆσαι οὐ δύναται ὁ μηδὲν ἀδυνατῶν. Παίζεις ἔχουσα, ἦν δ᾽ ἐγὼ, πρὸς ἐμὲ, ἀδιέξοδον ἐκπονοῦσα τοῖς λόγοις λαβύρινθον, νῦν μὲν εἰσιοῦσα ὅθεν ἐξελεύσῃ, νῦν δὲ προερχομένη ὅθεν ποιήσῃ τὴν εἴσοδον, θαυμάσιόν τινα τῆς θείας ἁπλότητος συνείρουσα κύκλον. Καὶ γὰρ οὐ πρὸ πολλοῦ γε,

---

1) MSC. φυλάττων. 2) τοσύνολον. 3) ἰσχυρωτάτου. 4) τοσύμπαν. 5) ἠπίως.

ἀπ' αὐτῆς τῆς μακαριότητος ἀρχομένη, ταύτην ἄκρον ἀγαθὸν ἔλεγες εἶναι, καὶ ἐν τῷ ἄκρῳ ἱδρῦσθαι θεῷ διϊσχυρίζου· αὐτόν τε τὸν θεὸν τὸ ἄκρον ἀγαθὸν εἶναι καὶ τὴν πλήρη μακαριότητα διηγόρευες, ἐξ οὗ μηδένα μακάριον γίνεσθαι, εἰ μὴ καὶ θεὸς ὁμοῦ γένοιτο, οἱονεί τι βραβεῖον ἐξαίρετον παρεδίδους. Αὖθις δὲ πάλιν αὐτὸ τὸ τοῦ ἀγαθοῦ εἶδος τοῦ θεοῦ τε καὶ τῆς μακαριότητος διεξήρχου ὑπόστασιν πεφυκέναι· καὶ αὐτὸ δὲ τὸ ἓν διὰ τοῦτο ἐδίδασκες ἀγαθὸν εἶναι ὅτι πρὸς ἁπάσης τῶν ὄντων ζητεῖται τῆς φύσεως· τόν τε θεὸν τοῖς τῆς ἀγαθότητος οἴαξι τὰ σύμπαντα πηδαλιουχεῖν διελέγου, καὶ πάντα αὐτῷ ἑκοντὴν πειθαρχεῖν, καὶ μηδεμίαν τοῦ κακοῦ ὑπάρχειν οὐσίαν· καὶ ταῦτα μηδενὸς ληφθέντος ἔξωθεν, ἀλλ' ἐκ τῶν ἡγησαμένων τῶν ἑπομένων τὴν πίστιν ἑλκόντων, ἐμφύτοις τε καὶ οἰκείαις ἀποδείξεσι διεσάφησας. Ἡ δέ· Οὐδαμῶς παίζομεν, ἔφη· πρᾶγμα δὲ πάντων μέγιστον τῇ τοῦ θεοῦ δωρεᾷ, ᾧ καὶ πρὶν δέησιν προσηγάγομεν, διηνύσαμεν. Οὗτος γάρ ἐστιν ὁ χαρακτὴρ τῆς θείας οὐσίας, ὡς μήτε πρὸς τὰ ἔξω διαχεῖσθαι, μήτε τι πρὸς ἑαυτὴν ἔξωθεν ὅλως εἰσδέχεσθαι. Ἀλλ' ὡς ὁ Παρμενίδης περὶ αὐτῆς φησί· πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκῳ [1]). Ὥστ' οὖν, εἰ καὶ λόγους μὴ θύραθεν προςληφθέντας, ἐντὸς δὲ καθιδρυμένους τῆς τοῦ πράγματος περιοχῆς ἐκινήσαμεν, οὐ θαυμάζειν εἰκός· ὡς γὰρ τοῦ Πλάτωνος ἐπικυροῦντος μεμάθηκας, ἀδελφοὺς χρεὼν εἶναι τοὺς λόγους τῶν πραγμάτων ὧνπερ διεξίασιν [2]).

Εὐδαίμων ὁ λαβὼν σθένος
πηγὴν τῶν ἀγαθῶν ἰδεῖν·
εὐδαίμων ὁ τυχὼν μένους
λῦσαι [3]) τὰς χθονίους πέδας.
Πότμον σύζυγος ἔκπαλαι
μάντις Θρηΐκιος στένων
θρηνώδει μεθὸ [4]) βαρβίτῳ
ἄλση θεῖν ἐβιάσσατο,
ἵστασθαι δ' ὑδάτων ῥόον·
ὡμίλησέ τ' ἄπο τρόμου

---

[1]) MSC. πάντοθεν ἐν κύκλοισι φέρειν ἐναλίγκιον ὄγκον. La rectification est empruntéo à Platon, Soph. p. 244 E. [2]) Platon, Tim. p. 29 B. [3]) MSC. λύσαι. [4]) μύθῳ. Weber et Par. Texte : *postquam flebilibus modis*.

λείουσι νεβρὸς ἀγρίοις,
οὐδ' ὀφθέντα λαγὼς τρέσεν [1])
μαλθαχθέντα μέλει [2]) κύνα·
ἦμος πῦρ μαλερώτερον
πίμπρα οἱ κραδιην ἔσω,
οὐδ' ᾠδῄ, ᾗ γ' ὑπέταξε πᾶν,
ὃν μειλίξατο δεσπότην·
ἀγνάμπτοις [3]) νεμεσῶν θεοῖς,
Ἀΐδου δώμαθ' ὑπεισέδυ·
κἀκεῖ ψαλμὸν ἐϋμμελῆ
ἠχῇ πυκτίδος ἁρμόσας,
πηγῶν εἴ τι περ ἔκκριτον
Μούσης ἠρύσατο τροφοῦ,
εἴ τι θρῆνος ἑοῖ δίδου,
εἴ τι θρῆνον ἔρως διπλῶν,
κλαῖεν Ταίναρα συγκλονῶν,
τερπνῇ δ' οἶκτον ὑπαὶ λιτῇ
ψυχῶν ἤτεε κοιράνους.
Θάμβησε τρίκρανος κύων,
θελχθεὶς ἁρμονίῃ νέῃ·
αἱ πτοίαις δ' ἐλάουσι δὴ
σκαιοὺς Εὐμενίδες θεαὶ,
λυπρὸν [4]) δάκρυ κατέρρεον·
οὐκ Ἰξιόνεον κάρα
λαιψηρὸς τροχὸς ἔστρεφε,
καὶ δίψῃ δολιχῇ φθίνων
ἠρνεῖθ' ὕδατα Τάνταλος·
γὺψ μολπαῖσιν ἑλὼν κόρον,
οὐχ ἧπαρ Τιτυοῦ ξέεν.
Ἡττήμεθα, τέλος φάτο
ψυχῶν ὄρχαμος οἰκτίσας,
δῶμεν τἀνδρὶ συνέμπορον
ὠνητὴν ἄλοχον μέλει·
στεινούσθω δόμα δ' ἐντολῇ,
μὴ ἔστ' ἂν Τάρταρον ἐκδράμοι [5]),
ἐξεῖναι βλέφαρον στρέφειν.
Τίς στέργουσι πόροι νόμον,
οἷς κρείσσων νόμος ἔστ' ἔρως;
Νυκτὸς, φεῦ, ὁρίων πέλας,
Ὀρφεὺς Εὐρυδίκην ἑὴν
δέρχθη, ὤλεσεν, ἔφθισεν.
Ὑμᾶς μῦθος ὅδε σκοπεῖ

---

[1]) MSC. τρέσσεν. [2]) μέλη. [3]) ἀγράπτοις. [4]) λαμπρὸν. Weber et Par. Texte: *jam mœstœ lacrymis madent.* [5]) Web. ἐκδράμῃ, qui est plus conforme à la syntaxe; mais ce n'est pas une raison pour changer, lorsque plus bas ἢν est construit avec l'ind.

τοὺς εἰς οὐράνιον σέλας
νοῦν ζητοῦντας ἀερτάσαι·
ὃς γὰρ νερτερίῳ σπέει
ἡττηθεὶς βλέφαρα κλινεῖ,
ἣν ἐξαίρετον ἔσχε τι,
Ἅιδην εἰσορόων ὀλεῖ.

## ΒΙΒΛΙΟΝ Δ.

Ταῦτα τῆς Φιλοσοφίας ἐν ᾠδῇ ποιησαμένης ἠπίως [1]) τε καὶ ἡδέως, μήτε τῆς τοῦ προσώπου κοσμιότητος, μήτε τοῦ τῶν λόγων ὄγκου παραλυθέντος, ἔγωγε μήπω κατὰ τὸ παντελὲς τῆς ἐγκαθημένης τῇ ψυχῇ λύπης τὴν μνήμην ἀπαγαγὼν, ἔτι καὶ ἕτερόν τι λέγειν αὐτῆς ἐν παρασκευαῖς οὔσης, διέτεμον τὴν διάνοιαν, καί· Ὦ, ἔφην, τοῦ ἀληθινοῦ φωτὸς ὁδηγὲ, τὰ τῇ σῇ μέχρι τοῦδε γλώσσῃ τῇ βρυούσῃ χάρισιν εἰρημένα, τοῦτο μὲν ἔνθεα τῇ αὐτῶν [2]) ἐφάνησαν θεωρίᾳ, τοῦτο δὲ καὶ τοῖς σοῖς λόγοις ἀήττητα· ἅπερ καὶ τῷ τῆς ὑπογυίου [3]) συμφορᾶς θορύβῳ τῆς ἐμῆς μνήμης ἐξέπεσον, ἀλλ' οὐχὶ καὶ παντάπασιν ἀγνοούμενά μοι τὸ πρότερον [4]) διεξῆλθες. Ἀλλ' αὐτὸ τοῦτο καὶ μέγιστον τῆς ἐμῆς ἀνίας ἐστὶν αἴτιον, ὅτι περὶ ἀγαθοῦ κυβερνήτου τοῖς οὖσιν ἐπιστατοῦντος, ἤτοι ὅλως εἶναι τὰ κακὰ δύνανται, ἢ ἀτιμώρητα παρίασιν· ὃ μόνον πόσης ἐκπλή-

[1]) MSC. ἠπίως. [2]) αὐτῶν. [3]) ὑπογείου. Texte: *nuper*. [4]) τοπρότερον.

ξεως πέφυκεν ἄξιον, πάντως δὴ κατανόει. Καὶ μὴν ἀλλὰ καὶ ἕτερόν τι τούτῳ συνάπτεται· τῆς γὰρ πονηρίας δυναστευούσης τε καὶ ἀνθούσης, ἡ ἀρετὴ οὐχ ὅπως γερῶν ἄτιμος καταλείπεται, ἀλλὰ καὶ τοῖς τῶν ἀνοσιωτάτων ποσὶν ὑποβεβλημένη καταπατεῖται, καὶ ἐν ἀλιτηρίων μοίρᾳ κολάσεις καὶ δίκας ὑπέχει. Ἃ δὴ γίνεσθαι ἐν βασιλείᾳ εἰδότος πάντα, δυναμένου πάντως, τὰ δ' ἀγαθὰ μόνα θέλοντος θεοῦ, οὐδ' ἱκανῶς ἔχει τις οὔτε θαυμάζειν οὔτε ἐγκαλεῖν. Ἡ δέ· Καὶ ἦν ἄν, εἶπεν, ἀπείρου θαύματος καὶ φρικωδέστατον τόδε τεράτων πάντων, εἴπερ, ὥς σοι δοκεῖ, ἐν εὐδιοικήτῳ οἰκίᾳ τηλικοῦδε ὥσπερ οἰκοδεσπότου, τὰ μὲν σαπρὰ τῶν ἀγγείων τιμῆς ἠξιοῦτο, τὰ δὲ τίμια ὡς ἔτυχεν ἐῤῥιπεῖτο. Ἀλλ' οὐχ οὕτω ταῦτα· εἰ γὰρ ἃ μικρῷ διωρισάμεθα πρόσθεν ἀναφαίρετα συντηρεῖται, γνωριεῖς ἐν αὐτῷ τῷ τε κράτος ἀναπτομένῳ τῆς βασιλείας, περὶ ἧς τὸν λόγον ποιούμεθα, ἰσχύοντας μὲν αἰεὶ τοὺς χρηστούς, τοὺς δὲ πονηροὺς παρ' οὐδὲν ἀγομένους καὶ τὴν ἰσχὺν ἐκνενευρισμένους, καὶ μήτε τὴν κακίαν ποτὲ τιμωρίας ἐκτός, μήτε τὰς ἀρετὰς ἄνευ ἐπάθλων εὑρισκομένας· καὶ τοῖς μὲν σπουδαίοις εὐδαίμονα, τοῖς δὲ βεβήλοις τἀναντία διηνεκῶς ἀπαντῶντα [1]), καὶ πολλὰ τῶν τοιούτων μαθήσῃ, ἃ τὴν μεμψιμοιρίαν κατασιγάσαντα συνέξει καὶ κρατυνεῖ σε ἀῤῥήκτῳ στεῤῥότητι. Ἐπεὶ δὲ τὴν εἰκόνα τῆς ἀψευδοῦς μακαριότητος, ἐμοῦ πάλαι καθυποδεικνύσης, ἑώρακας καὶ συνῆκας ὅπου καθίδρυται, παραδραμοῦσα πάντα ἃ παρελθεῖν ἀναγκαῖον νομίζω, τὴν ὁδόν σοι τὴν εἰς τὸν οἶκον ἐκεῖνον ἀναπέμψουσαν ὑποδείξω· πτέρυγάς τε τῇ σῇ διανοίᾳ προσφύσω, δι' ὧν πρὸς ὕψος σαυτὸν ἐξαίρειν δυνήσῃ, ὡς ἄν, τῶν θορύβων ἀπελαθέντων, σῶς πρὸς τὴν πατρίδα καὶ ὑγιὴς ταῖς ἐμαῖς ὁδηγίαις, ταῖς ἐμαῖς ὁδοῖς καὶ τοῖς ἐμοῖς ὀχήμασιν ἐπανέλθῃς.

Εἰσὶ γὰρ ὠκύταται πτέρυγες ἐμοί,
εἰς ὕψος ἥκουσαι πόλου·
ἃς περιαψάμενος νόος εὔδρομος
γῆν μὲν στυγῶν διαπτύει,
ἄντυγα δ' ἠερίην ὑπερίπταται,
νέφη λιπὼν ὀπίστερα [2]),

[1]) MSC. ἀπατῶντα. [2]) ὄπισθε ῥα. Web. ὀπιστέραν. La bonne leçon est fournie par les MSC. de Paris.

καὶ κορυφὴν ζείουσαν αὖ αἰθέρος
ῥύμη θοῇ παρέρχεται,
μέχρις ἂν ἀστερόεντα κίχῃ δόμον,
Φοίβῳ δ' ὑπάρξῃ σύνδρομος,
ἢ γεραῷ ψυχρῷ συνοδοιπόρος,
ἑταῖρος ἀστέρι παμφαεῖ,
ἢ ὅθι νὺξ φαενὴ ποικίλλεται
ἄστρων [1]) μέγαν κύκλον φθάσῃ,
ἧχι κορεσσάμενος τερπνῆς θέας
Ὄλυμπον ὕστατον λίπῃ,
καὶ νώτων ὑπερήμενος αἰθέρος
κληροῦχος εἴη φέγγεος [2]).
Κεῖθι θεὸς βασιλήων σκῆπτρ' ἔχει
κόσμου καθιστὰς ἡνία,
καὶ ταχινὴν ἕλικα στάσιμος μένων,
πάντων ἄγει σελασφόρος·
κεῖσε παλίνδρομος ἣν ἀπίῃς θέων,
ἣν νῦν ἰχνεύεις λαθόμενος,
αὕτη, ἐρεῖς, μέμνημαι, ἐμὴ πατρίς,
ἐνταῦθ' ἐμὸν στήσω πόδα·
ὥστ' εἴ σοι χθονὸς ὄρφνην ἀνδάνει [3]),
ἣν κάλλιπες, κεῖθεν βλέπειν,
οὓς δῆμοι [4]) τρομέουσι τυραννικοὺς,,
ὡς ἐξορίστους γνωρίσεις.

Ἐγὼ δὲ πρὸς ταῦτα ὑπολαβών· Παπαί, εἶπον, ὡς μέγιστα ἐπαγγέλλῃ· αὐτὸς δὲ οὐκ ἀμφηρίστους τὰς ἐλπίδας ἔχω μὴ καὶ εἰς πέρας ἀγαγεῖν δυνηθῆναί σε. Ἀλλ' ἐπεί με πρὸς ἀκοὴν ἀνεπτέρωσας, μὴ διάτριβε. Πρῶτον τοίνυν ἁπάντων, ἔφη, τοῖς μὲν χρηστοῖς προσεῖναι δύναμιν, τοὺς δὲ μὴ χρηστοὺς ἠρημῶσθαι πάσης ἰσχύος ἐξέσται σοι μαθεῖν· τούτων δὲ θάτερον ἐκ θατέρου τὴν ἀπόδειξιν ἔχει. Τοῦ γὰρ ἀγαθοῦ καὶ κακοῦ ἀντικειμένων ὄντων, εἰ μὲν τῷ ἀγαθῷ ἰσχυρῷ εἶναι ὑπάρξει, περιφανὲς ἐν τῷ κακῷ τὸ ἀνίσχυρον, εἰ δὲ τὸ ἀσθενὲς ἄντικρυς μηνύεται τοῦ κακοῦ, γνώριμον τὸ ῥωμαλέον τοῦ ἀγαθοῦ. Ὡς ἂν δέ μοι τῷ δόγματι πίστις δαψιλεστέρα προσῇ, δι' ἑκατέρας ὁδοῦ πορεύσομαι, νῦν μὲν ἔνθεν, νῦν δὲ ἔνθεν τὰ προκείμενα συνιστᾶσα. Δύω ἐστὸν δι' οἷν ἡ πᾶσα τῶν ἀνθρωπίνων πράξεων ὑφέστηκε προκοπή, βού-

---

[1]) MSC. ἀστέρων. [2]) φέγγος. [3]) ὀρφνὴν ἀνδάνει. Corr. de Weber. [4]) δή μοι. Id.

λησις δηλονότι καί δύναμις· τούτων [1]) εἰ θάτερον ἄπεστιν, οὐδὲν ἐπιτελὲς γενέσθαι δύναμιν ἔχει. Ἐκλιπούσης καὶ γὰρ τῆς βουλήσεως, ἐπιχειρεῖ τίς τινι τὴν ἀρχὴν [2]) ᾧ γε μὴ βούλεται; κἂν ἡ δύναμις δὲ ἀπῇ, μάτην ἡ θέλησις ἔσται. Ἐντεῦθεν οὖν, εἰ μέν τινα βλέπεις ἐπιτυχεῖν τινὸς θέλοντα ἥκιστα πεφυκότος καταληφθῆναι, οὐκ ἀμφίβολος ἕξεις γενέσθαι τὴν γνώμην μὴ στερέσθαι [3]) τοῦτον ἰσχύος πρὸς τὸ ἐπιτυχεῖν οὗπερ ἠθέλησε. Καταφανές, εἶπον, καὶ οὐδενὶ τρόπῳ δεχόμενον ἄρνησιν. Ὃν δ' ἂν ἴδῃς ἠνυκότα ὅπερ βεβούλευται, ἐν ἀμφιβόλῳ γενήσῃ μὴ δεδυνῆσθαι τοῦτον; Οὔμενουν. Ὃ δὲ ἕκαστος δύναται, ἐν τούτῳ ἰσχυρός ἐστιν, ὃ δὲ μὴ δύναται, ἀσθενὴς ἐν τούτῳ καταμανθάνεται; Σύμφημι. Μέμνησαι τοίνυν, εἶπε, τοῖς ἀνωτέρω λόγοις συλλελογισμένον πᾶσαν πρόθεσιν τῆς ἀνθρωπίνης βουλήσεως, ἣν διαφόροις ἄνθρωποι σπουδάσμασι μετίασι, πρὸς τὴν μακαριότητα κατεπείγεσθαι; Μέμνημαι, ἦν δ' ἐγώ, τούτου γε ἀποδεδειγμένου. Ἀναμιμνήσκῃ δέ, εἶπε, καὶ τὴν μακαριότητα αὐτὸ τὸ ἀγαθὸν ὄν, καί γε τόνδε τὸν τρόπον τῆς μακαριότητος ζητουμένης, πρὸς ἁπάντων ζητούμενόν γε τὸ ἀγαθόν; Οὐκ ἀναμιμνήσκομαι, εἶπον, ὅτι δὴ τοῦτο τῇ μνήμῃ ἐμπεφυκὸς [4]) φέρω. Πάντες τοιγαροῦν, ἔφησεν, ἄνθρωποι χρηστοί τε ἁπλῶς καὶ πονηροὶ ἀδιαφόρῳ σκοπῷ πρὸς τἀγαθὸν φθάσαι [5]) πειρῶνται. Οὕτως, ἔφην, τὰ τῆς ἀκολουθίας ἔχει. Ἀλλὰ προὖπτον τῇ τοῦ ἀγαθοῦ ἐπιτυχίᾳ ἀγαθοὺς γίνεσθαι; Προὖπτον. Ἐπιτυγχάνουσι δὲ οἱ ἀγαθοὶ οὗπερ ἐφίενται; Οὕτω δοκεῖ. Καὶ οἱ πονηροὶ δέ, εἰ ἐπιτεύξονται οὗπερ ἐπιθυμοῦσιν ἀγαθοῦ, πονηροὶ εἶναι οὐκ ἂν σχοῖεν; Οὕτως ἔχει. Ἐπεὶ τοίνυν τἀγαθὸν ζητοῦσιν ἑκάτεροι, ἀλλ' οἱ μὲν ἐπιτυγχάνουσιν, οἱ δὲ οὐκ ἄν ποτε, ἔτι τις [6]) ὁρμήσει πρὸς δισταγμὸν μὴ τοὺς μὲν ἀγαθοὺς δυνατοὺς εἶναι, τοὺς δὲ πονηροὺς ἀσθενεῖς; Ὁ τούτοις, εἶπον, ἐνδοιάζων οὔτε τῆς τῶν πραγμάτων φύσεως, οὔτε μὴν τῆς τῶν λόγων ἀκολουθίας δυνατὸς συνιέναι. Πάλιν οὖν εἰ δύο τινές εἰσιν, εἶπεν, οἷς τὸ αὐτὸ κατὰ φύσιν ἐστὶ σκοπούμενον, τούτων δ' ἅτερος μὲν τῇ φυσικῇ χρώμενος ἐνεργείᾳ ἐνεργεῖ τοῦτο

---

[1]) MSC. τούτῳ. [2]) τηναρχὴν. [3]) στέρεσθαι. [4]) ἐμπεφυκώς. [5]) φθᾶσαι. [6]) τίς.

καὶ τελειοῖ, ἅτερος δὲ μηδ' ὁπωσοῦν [1]) τῇ τοιᾷδε φυσικῇ ἐνεργείᾳ διακονεῖσθαι δυνατῶς ἔχων, ἕτερον δέ τινα τρόπον ἢ ὥστε τῇ φύσει πρόσφορόν ἐστι, μὴ περαίνει μὲν τὸν οἰκεῖον σκοπὸν, μιμεῖται δὲ τὸν περαίνοντα, ὁπότερον τούτων ἰσχυρότερον [2]) κρίνεις; Εἰ καὶ συμβάλλω πως, ἔφην, ὅ τι βούλει, σαφέστερον ὅμως ἀκούειν ἐπιθυμῶ. Τὴν τοῦ βαδίζειν, εἶπε, κίνησιν μὴ κατὰ φύσιν εἶναι τοῖς ἀνθρώποις ἀρνήσῃ; Οὐδέποτε, εἶπον. Τοῦτο [3]) δὲ τὴν τῶν ποδῶν ἐνέργειαν ἀμφιβάλλεις μὴ φυσικὴν εἶναι; Οὐδὲ τοῦτ', ἔφην. Εἰ τοίνυν τις, εἶπεν, ὁδεύοι ποσὶν ἰέναι δυνάμενος, ἕτερος δέ τις ᾧπερ ἡ φυσικὴ αὕτη τῶν ποδῶν μὴ ἔστιν ἐνέργεια [χερσὶν ἐρειδόμενος [4] ] πειρῷτο πορεύεσθαι, πότερος τούτων εὐλόγως ἰσχυρότερος ὑπολαμβάνεσθαι πέφυκε; Συνύφαινε, εἶπον, καὶ τὰ λοιπά· τὸν γὰρ τῇ φυσικῇ ἐνεργείᾳ χρῆσθαι δυνάμενον τοῦ ταύτην λελωβημένου οὐδεὶς ἐν ἀμφιβολίᾳ καθίσταται μὴ ἰσχυρότερον εἶναι. Ἀλλὰ τὸ ἄκρον ἀγαθὸν, ὅπερ ἐπίσης πονηροῖς τε καὶ ἀγαθοῖς πρόκειται, οἱ μὲν ἀγαθοὶ τῇ φυσικῇ ἐνεργείᾳ ζητοῦσι τῶν ἀρετῶν, οἱ πονηροὶ δὲ ταῖς παντοδαπαῖς ἐπιθυμίαις, αἳ μὴ κατὰ φύσιν εἰσὶν ἐνέργειαι πρὸς τὴν τἀγαθοῦ ἐπίτευξιν, αὐτοῦ τούτου φιλονεικοῦσιν ἐπιτυχεῖν. Ἢ σὺ ταῦθ' ἑτεροίως ὑπολαμβάνεις; Οὐ δῆτ', ἔφην· καὶ γὰρ τὸ τούτοις ἑπόμενον κατάφορον γίγνεται· ἐκ γὰρ τῶν ὡμολογημένων τοὺς μὲν ἀγαθοὺς ἰσχυροὺς, τοὺς δὲ πονηροὺς ἀσθενεῖς ἀναγκαῖον ὑπάρχειν. Ὀρθῶς, εἶπεν, ἐφοδεύεις ταῦτα· καὶ τοῦτο δὲ, ὥς που τοῖς ἰατροῖς ἐκδέχεσθαι σύνηθες, σημεῖόν ἐστι διανισταμένης ἤδη καὶ ἀνακτωμένης ἑαυτὴν φύσεως. Ἐπεὶ δέ σε πρὸς τὸ συνιέναι προθυμότερον καθορῶ, πυκνάς σοι τὰς ἐννοίας ἐπιστοιβάσω. Ὅρα γοῦν πόσον τι τῶν ἐκδεδιῃτημένων ἀνθρώπων τὸ ἐκλελυμένον καὶ ἀσθενὲς καταφαίνεται, ὅτε μηδὲ πρὸς τοῦτο ἐξικέσθαι δύνανται, πρὸς ὅπερ ἡ ἐκ φύσεως σφᾶς πρόθεσις καὶ χειραγωγεῖ καὶ μονονοὺ συνωθεῖ. Τί δ' ἂν ἐγένετο, εἰ τοῦ οὕτω μεγάλου τῆς προηγουμένης φύσεως βοηθήματος καὶ μικροῦ δεῖν ἀηττήτου γυμνοὶ καθειστήκεσαν; Σκόπει δὲ πάλιν αὖθις

---

[1]) MSC. μηδοπωσοῦν. [2]) ἰσχυρώτερον, id. dans les lignes suivantes. [3]) τούτῳ. [4]) Ces deux mots manquent dans le MSC. Texte: ***manibus nitens***.

πόση τοὺς μοχθηροὺς ἀνθρώπους ἀδυναμία συνέχει· οὐ γὰρ ἐλαφρά τινα καὶ παιγνιώδη τὰ ἆθλα ζητοῦσιν, ὧν μήτ' ἐφικέσθαι μήτ' ἐπιτυχεῖν ἔχουσιν, ἀλλὰ περὶ αὐτὴν τὴν τῶν πραγμάτων ἀκρότητά τε καὶ κορυφὴν ἐξαδυνατοῦσί τε καὶ ἐκλείπουσι, καὶ οὐδὲ πέρας τούτῳ ἐπιτιθέασιν οἱ ταλαίπωροι, ᾧ μόνῳ προστετήκασι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, ἐν ᾧ δὴ τῶν ἀγαθῶν ἀνδρῶν ἡ δύναμις διαδείκνυται. Ὡς γὰρ τὸν ποσὶ βαδίζοντα πρὸς ὃν καταλαβεῖν ἔσχε τόπον, οὗ μηδεμία περαιτέρω ὁδὸς ὑπέστρωται, πρὸς πορείαν ἰσχυρότατον[1]) διαγινώσκεις, οὕτω τὸν τὸ τέλος τῶν ἐφετῶν, οὗ μηδέν ἐστιν ἐπέκεινα, κατειληφότα δυνατώτατον εἶναι κρίναις. Ἐξ οὗ τὸ τούτῳ παρακείμενον πάντως συνάγεται, τὸ πάσης ἰσχύος τοὺς φαύλους ἐκπεπτωκότας πιστεύεσθαι. Ἵνα τί γὰρ καὶ καταλελοιπότες τὴν ἀρετὴν τὴν κακίαν μεταδιώκουσιν; Ὑπὸ τῆς τῶν ἀγαθῶν ἀπειρίας; Καὶ τί τῆς τυφλῆς ἀγνοίας ἐστὶν ἀδρανέστερον; Ἀλλ' ἔγνωσαν μὲν τὰ ζητητέα, ἡ δ' ἐπιθυμία περιάγουσά τε καὶ ἄγχουσα σφᾶς κατὰ κρημνοῦ φέρει; Καὶ μὴν καὶ οὕτω γε τῇ ἀκρασίᾳ θηλυδρίαι τε καὶ κατεαγότες εἰσὶ τὴν ψυχὴν οἱ τοῖς πάθεσιν ἀντιστρατεύεσθαι μὴ δυνάμενοι. Ἀλλὰ καὶ εἰδότες καὶ βουλόμενοι λειποτακτοῦσι μὲν τἀγαθόν, μετατάττονται δὲ πρὸς τὰ πάθη; Ἀλλὰ καὶ ὡς, οὐ τοῦ δυνατοὶ μόνον εἶναι, ἀλλὰ καὶ τοῦ ὅλως εἶναι ἀποστατοῦσιν. Οἱ γὰρ τὸ κοινὸν πάντων τῶν ὄντων καταλείποντες τέλος ὁμοιοτρόπως καὶ τοῦ εἶναι ἀφίστανται. Καὶ ὃ δὲ εἰπεῖν βούλομαι παράδοξον ἴσως δόξειεν ἄν, τὸ τοὺς μοχθηρούς, οἳ τὸν πλείω ἐν ἀνθρώποις ἐπέχουσιν ἀριθμόν, τούτους μὴ εἶναι λέγειν· ἀλλ' οὕτως ἔχει τὸ πρᾶγμα. Τοὺς γὰρ πονηρούς, πονηροὺς μὲν εἶναι οὐκ ἔξαρνος γίνομαι, εἶναι δὲ αὐτοὺς ἁπλῶς καὶ ἀπολύτως ἀρνοῦμαι. Ὡς γὰρ τὸν νεκρὸν ἄνθρωπον τεθνηκότα ἐρεῖς, ἁπλῶς δὲ καὶ μονοειδῶς ἄνθρωπον προσαγορεῦσαι οὐχ ἕξεις, οὕτω καὶ τοὺς μοχθηρούς, κακοὺς μὲν εἶναι κἂν ὁμολογήσαιμι, εἶναι δὲ ἀπολύτως οὐκ ἂν εἴποιμι. Ἔστι μὲν γὰρ ἁπλῶς τὸ τὴν ἰδίαν τάξιν ἀκαινοτόμητον ἔχον καὶ τὴν φύσιν συντηροῦν, τὸ δ' αὐτῆς ἐξιστάμενον καὶ αὐτὸ τὸ εἶναι τὸ ἐν τῇ ἰδίᾳ φύσει τεθησαυρισμένον ἀποβάλλει. Ἀλλ' ἐρεῖς ὡς ἴσχουσιν οἱ κακοί; οὐδ' αὐτὴ τοῦτό γε

[1]) MSC. ἰσχυρώτατον.

ἀπαρνήσομαι· ἀλλ' αὔτη [1]) τούτων ἡ ἰσχὺς οὐκ ἀπὸ δυνάμεως ἥκει, ἀλλ' ἐξ ἀδυναμίας ἔχει τὴν πρόοδον. Δύνανται γὰρ τὰ κακά, ἅπερ ἥκιστα ἠδύναντο, εἰ ἐν τῇ τῶν καλῶν ἐνεργείᾳ μένειν ἴσχυον. Ὥσθ' ἡ τοιαύτη δύναμις καθαρώτατα σφᾶς μηδὲν δύνασθαι παριστάνει. Εἰ γάρ, ὡς μικρὸν ἔμπροσθεν συνελογισάμεθα, τὸ κακὸν οὐδέν ἐστι, τοὺς ἄρα φαύλους μόνα τὰ κακὰ δυναμένους ἐκφανέστατον μηδὲν δύνασθαι. Ἐκφανέστατον, ἔφην. Ὡς ἂν δὲ καὶ πρὸς αἴσθησιν ἔλθῃς, τί ποτε ἡ τοιάδε τῶν πονηρῶν δύναται δύναμις, οὐδὲν τοῦ ἄκρου ἀγαθοῦ μικρῷ πρόσθεν ἰσχυρότερον [2]) εἶναι διωρισάμεθα. Οὕτως ἔχει. Ἀλλ' αὐτὸ τοῦτο ποιεῖν τὸ κακόν, εἶπεν, ἀδυνατεῖ. Παντάπασι δῆλον. Ἔστι τοίνυν, εἶπέ, τις [3]) ὁ πάντα δύνασθαι τοὺς ἀνθρώπους οἰόμενος; Εἰ μὴ [4]) μαίνεταί τις, οὐδείς. Ἀλλ' οἱ αὐτοὶ δύνανται τὰ κακά; Μὴ ὤφειλον, εἶπον, δύνασθαι. Ἐπεὶ τοίνυν ὁ μόνα τἀγαθὰ δυνάμενος δύναται πάντα, οὐ δύνανται δὲ πάντα καὶ οἱ δυνάμενοι τὰ κακά, τοὺς ἄρα τὰ κακὰ δυναμένους ἧττον δύνασθαι πρόδηλον. Κἀντεῦθεν συμβαίνει πᾶσάν τε δύναμιν τὴν ἐν τοῖς ἐφετοῖς ἐξεταζομένην καὶ τὰ ἐφετὰ πάντα πρὸς τἀγαθὸν ἀναφέρεσθαι, ὡσανεὶ πρὸς κορυφήν τινα τῆς ἑαυτῶν φύσεως ἀποδεδειχότας ἡμᾶς εἶναι. Ἀλλ' ἡ δύναμις τοῦ τὴν πονηρίαν τολμᾶν τινὰ πρὸς τἀγαθὸν ἀναφέρεσθαι οὐκ ἂν δύναιτο· ἐφετὴ τοίνυν οὐκ ἔστι. Πᾶσα δὲ δύναμις ἐφετή· λείπεται [5]) ἄρα τὴν τῶν κακῶν δύναμιν μὴ ἄν ποτε ἰσχὺν εἶναι. Ἐξ ὧν πάντων διάδηλος μὲν ἡ τῶν ἀγαθῶν δύναμις, ἡ δὲ τῶν κακῶν οὔμενουν ἀμφίβολος ἀσθένεια γίνεται. Ὀφθαλμοφανές τε τὴν τοῦ Πλάτωνος γνώμην ἔχεσθαι ἀληθείας, μόνους τοὺς σοφοὺς λέγοντος δύνασθαι ποιεῖν οὗπερ [6]) ἐφίενται, τοὺς δὲ μοχθηροὺς διαπονεῖσθαι μὲν ὅπερ αὐτοῖς εἰς ἐπιθυμίαν ἔρχεται, περατῶσαι μέντοι οὗ [7]) ἐπιθυμοῦσιν ἀπόρως ἔχειν. Πράττουσι γὰρ ὡς ἕκαστα δι' ὧν ἥδονται, τἀγαθοῦ τουτουὶ οὗ ὀριγνῶνται οἰόμενοι ἐπιτεύξεσθαι, ἐπιτυγχάνουσι δὲ ἥκιστα· οὐ γὰρ τὰ καθάρματα πρὸς τὴν μακαριότητα εἰκὸς παραγίγνεσθαι.

---

1) MSC. αὐτή. Texte : *sed hæc eorum potentia.* 2) ἰσχυρώτερον. 3) τίς. 4) μέν. 5) Texte : *liquet.* 6) ὅπερ. 7) ὅ.

Οὓς καθημένους θρόνοισι
  βασιλεῖς δέρκῃ ἀπόπτοις,
ταῖς ἁλουργίσιν [1] φαεινούς,
  ὅπλοις τ' εὐπεριφράκτους [2],
ἀγρίως ἀπειλέοντας,
  λύσσῃ τ' οἰστροφορήτους,
ἤν τις ἐξέλῃ κάλυμμα
  κάλλους τῶνδε ματαίου,
ὄψεται τούτους φέροντας
  σειρὰς ἔνδον ἀφύκτους·
ἔνθεν αἰσχρὰ μέντ' ὄρεξις
  ψυχὴν τῶνδε μολύνει,
ἔνθεν αἰκίζει νόον δὲ
  θυμὸς κύματ' ἀείρων,
ἢ πάλιν λύπης κάκωσις,
  εἴτ' οὖν ἐλπίδος ἄχθος·
τοιγὰρ [3]) ἣν ἕν τι πρόσωπον
  τόσσους ἔσχε τυράννους,
οὐχ ὃ βούλεται μέτεισι,
  τούτοις πάσχων ἀνάγκην.

Ὁρᾷς ἐν ὅσῳ μὲν ἰλυσπᾶται [4]) τὰ πάθη βορβόρῳ, ὅσῳ δ' ἡ ἀστειότης ἀστράπτει φωτί; Τοῦτο δὲ καὶ μονονουχὶ φωνὴν ἀφίησιν, ὡς τοῖς μὲν χρηστοῖς οὐδ' ἀκαρὲς αἱ ἀμοιβαὶ ἐπιλείπουσι, τοῖς δὲ πονηροῖς αἱ κολάσεις οὐδ' ἅπαξ. Ἐκεῖνο γὰρ οὗ ἕνεκεν τῶν γιγνομένων ἕκαστον γίγνεται, τοῦ γιγνομένου πράγματος βραβεῖον εἶναι οὐκ ἄπο λόγου ὑποληφθήσεται· ὡς καὶ τοῦ τρέχειν ἐν τῷ σταδίῳ ἆθλον ὁ στέφανος κεῖται, δι' ὃν τρέχεται. Ἀλλά γε τὴν μακαριότητά γε εἶναι αὐτὸ τἀγαθὸν ἀπεδείξαμεν, δι' ὃ πάντα γίνεται· Ἔστι τοίνυν ταῖς ἀνθρωπίναις ἐνεργείαις αὐτὸ τἀγαθὸν οἱονεί τε γέρας κοινὸν προκείμενον. Τοῦτο δὲ τῶν χρηστῶν οὐ δυνατὸν διασπᾶσθαι. Οὐ γὰρ ἔτι χρηστὸς σὺν δίκῃ ἐπικληθήσεται, ὃν τἀγαθὸν ἐπιλέλοιπε· τοὺς σπουδαίους ἄρα τὰ οἰκεῖα [οὐκ [5]] ἀπολείπουσιν ἔπαθλα. Εἰ γὰρ καὶ ἐφ' ὅσον μέγιστον φονῷεν [6]) οἱ πονηροὶ καὶ τραχύνοιντο, ἀλλ' ὁ τοῦ σοφοῦ στέφανος οὔτ' ἀποῤῥεῖ οὔτ' ἀφαυαίνεται [7]). Οὐδὲ γὰρ τὰς ἀρετὴν πλουτούσας ψυχὰς

---

1) MSC. ἁλουργῖσι. 2) Mot nouveau ; texte : *septos* 3) τοὶ γάρ.
4) Plus usité sous la forme εἰλυσπᾶται, texte: *quanto in cœno volvantur.*
5) La négation manque. 6) φονῶεν. 7) ἀφαυένεται.

τὸν οἰκεῖον κόσμον ἀφαιρεῖται πρὸς βίαν ἡ τῶν ἄλλων φαυλότης. Εἰ μὲν γὰρ ἔξωθεν τούτου ληφθέντος ἠγάλλετο, ἠδύνατο τοῦτ' ἂν ἤτοι ἕτερός τις ἢ αὐτὸς γοῦν ὁ προσαγηοχὼς ἀφελέσθαι· ἐπεὶ δ' αὐτὸν ἡ οἰκεία συνεισφέρει καλοκἀγαθία, τότε τοῦ οἰκείου γέρως στερήσεται, ὅτε καλὸς καὶ ἀγαθὸς εἶναι παύσεται. Πρὸς τούτοις εἰ μηδέν ἐστιν ἆθλον, ὃ μὴ διὰ ταῦτα ζητητέον ἐστὶν ὅτι δὴ καλὸν εἶναι πιστεύεται, τίς τὸν αὐτοῦ τοῦ καλοῦ κληροῦχον ἀμέτοχον βραβείου κρινεῖ; Βραβείου δὲ τίνος λέγω; Τοῦ πάντων καλλίστου τε καὶ μεγίστου. Μέμνησο καὶ γὰρ τοῦ ἐξαιρέτου ἀριστείου ἐκείνου, ὅ σοι μικρὸν ἔμπροσθεν ἐν δωρεᾷ καὶ χάριτι δέδωκα, καὶ τοῦτόν μοι συλλογίζου τὸν τρόπον. Ἐπειδὴ τὸ ἀγαθὸν αὐτὸ ἡ μακαριότης ἐστὶ, τοὺς ἀγαθοὺς πάντας, ἐκ τούτου γε ὅτι δὴ ἀγαθοί εἰσι, μακαρίους γίνεσθαι πρόδηλον. Ἀλλ' οἱ μακάριοι καὶ θεοὶ ἔλαχον εἶναι· ἔστιν ἄρα τὸ τῶν ἀγαθῶν ἔπαθλον, ὅπερ οὐκ ἔστιν ἥτις ἂν ἐπιτρίψειεν ἡμέρα, οὐδενὸς κολούσειε δυναστεία, οὐδενὸς ἀμαυρώσειε [1]) μοχθηρία, τὸ θεοὺς γενέσθαι. Τούτων δὲ οὕτως ἐχόντων, καὶ περὶ τῆς ἀδιαστάτου τιμωρίας τῶν φαύλων ὁ φρονεῖν ἐπιστάμενος οὐκ ἂν ἐνδοιάσειε. Τοῦ γὰρ καλοῦ καὶ κακοῦ ἔτι τε τιμωρίας καὶ γέρως ἀντιμετώπων ἀλλήλοις ἀντικαθεζομένων, ἅπερ ἐν τῷ ἐπάθλῳ τοῦ ἀγαθοῦ ὁρῶμεν συμβαίνοντα, ταῦτα κατὰ πᾶσαν ἀνάγκην ἐκ τοῦ ἐναντίου καὶ τῇ τοῦ κακοῦ ἀνταποκριθήσεται τιμωρίᾳ. Ὡς ἄρα τοῖς χρηστοῖς ἡ χρηστότης αὐτὴ βραβεῖόν ἐστιν, οὕτω καὶ τοῖς μοχθηροῖς ἡ μοχθηρία αὐτὴ κόλασις πέφυκεν. Ἤδη δέ που τις καὶ βασάνοις κατατεινόμενος μὴ κακῷ πιέζεσθαι οὐκ ἀμφήριστός ἐστι τὴν γνώμην. Εἰ τοίνυν αὐτοὶ κατανοεῖν αὑτοὺς βούλοιντο, δύνανται βασάνων ἔξω καθεστάναι [2]) δοκεῖν ἑαυτοῖς οἱ τῷ κολοφῶνι τῶν κακῶν ἁπάντων (φημὶ τῇ κακίᾳ) οὐχ ὅπως στρεβλούμενοι, ἀλλὰ καὶ ὡς ἔνι μάλιστα φθορὰν ὑπομένοντες. Ὅρα μοι δὲ κἀκ τῆς ἐναντίας τῶν ἀγαθῶν μοίρας ποία κακῶν εἴσπραξις τοῖς ἀδοκίμοις ἀεὶ [3]) σύνεστι. Πᾶν γὰρ τὸ ὂν ἓν, αὐτό τε τὸ ἓν ἀγαθὸν εἶναι μικρὸν ἔμπροσθεν ἐδιδάχθης· τούτῳ δ' ἕπεται πᾶν τὸ ὂν ἀγαθὸν εἶναι δοκεῖν. Τούτῳ ἄρα τῷ τρόπῳ, ᾧτινι τἀγαθὸν ἐπιλείπει, τοῦτο καὶ τοῦ εἶναι ἀφί-

---

1) MSC. ἀμαυρώσει. 2) καθεστᾶναι. 3) ᾀεί.

σταται· τοῦτο δ' ἐστὶ τοὺς κακοὺς παύεσθαι εἶναι ὅπερ ἐγένοντο· ἀλλὰ γεγονέναι ἀνθρώπους ἔτι αὐτὸς ὁ τοῦ ἀνθρωπείου σώματος λοιπὸς παραδείκνυσι τύπος· ὥστ' οὖν ἀποκλίναντες εἰς κακίαν, καὶ τὴν ἀνθρωπίνην ἀπεβάλοντο [1]) φύσιν. Εἰ δὲ καὶ πλέον ἢ κατὰ ἄνθρωπον ἡ ἀρετὴ μόνη τὸν ἄνθρωπον ποιεῖν δύναται, ἀνάγκη καὶ οὓς τῆς τῶν ἀνθρώπων ἀπεσφενδόνισε καταστάσεως ἡ κακία, εἰς ἔλαττον συγκλείεσθαι τῆς ἀνθρωπίνης ἀξίας, Συμβαίνει τοιγαροῦν, ὃν μεταμεμορφωμένον ὁρᾷς τῇ μοχθηρίᾳ, μὴ δύνασθαί σε ἄνθρωπον ὑπολαμβάνειν αὐτόν. Τῇ πλεονεξίᾳ γὰρ κέχηνε καὶ τῶν ἀλλοτρίων χρημάτων βίαιός ἐστιν ἅρπαξ; λύκῳ προσεοικότα φήσαις. Ἰταμὸς καὶ ἀκάθεκτος καὶ τὴν γλῶτταν ἐξασκῶν πρὸς λογομαχίας; κυνὶ παρεικάσαις. Λοχῶν καὶ ἐκ τοῦ ἀφανοῦς ὑφαρπάζειν τι ταῖς ἀπάταις χαίρων; ἀλώπεξιν ἐξισούσθω. Τὸν θυμὸν ἀκρατὴς καὶ φρυάττων; λέοντος φέρειν πιστευέσθω γνώμην. Δειλὸς καὶ ψοφοδεὴς καὶ τρέμων τὰ μὴ φοβητέα; ὅμοιος ἐλάφοις ἐχέσθω. Νωθὴς καὶ ἀσύνετος; ὄνου διαγωγῇ χρῆται. Κοῦφος καὶ ἄστατος τὰς ἐργασίας μεταλαμβάνει; οὐδὲν τῶν πετεινῶν διενήνοχε. Ταῖς ἐναγέσι καὶ μυσεραῖς [2]) ἐπιθυμίαις ἐγκαλινδεῖται; συὸς ῥυπαρᾶς ὀρέξει συνέχεται. Οὕτως ὅς γε τὴν ἀρετὴν καταλιπών, καὶ τὸ ἄνθρωπος εἶναι κατέλιπε· πρὸς τὴν θείαν ἀδυνατῶν διαβῆναι κατάστασιν, μεταμείβεται εἰς θηρίον.

Νῆα Νηρικίου [3]) ταγοῦ,
πρόσθ' ἀλωομένην [4]) ἁλί,
νῆσον εὖρος ἐφώρμισεν,
ἧπερ ἑζομένη θεά,
ἡλίου γεγαυῖα παῖς,
δεινὰ φάρμακα τοῖς ξένοις
ᾠδαῖς φοιβάσι [5]) κιρνάα·
ὧν ἐς ἀλλοφανῆ τύπον
ἐξαμειβομένων τέχνῃ,
τὸν μὲν ἔκρυφε κάπριος,
τὸν δὲ Μαρμαρικὸς λέων,
φρικτὸς ὀξὺς ὀδόντεσιν·
ὃς μὲν ἔντροφος ὢν λύκοις
κλαῦσαι ὠρύεται θέλων·

---

[1]) MSC. ἀπεβάλλοντο. [2]) Déformation de μυσαρός. [3]) Weber conj. Νηριτίου. [4]) ἀλοωμένην. [5]) φοιβᾶσι.

ὃς δὲ τίγρις ἅτ' Ἰνδικὴ
ἐν δόμοις κίεν ἤρεμος [1]·
κἂν δὲ τοσσατίοις κακοῖς
Ἀρκὰς εὔπτερος ὄρχαμον
ἐγκυκλούμενον οἰκτίσας,
σῶσε ξεινοδόκου βλάβης·
ἀλλ' ὅμως βδελυρώτατον
ναυτίλοι δέπας ἔσπασαν·
σῦς δ' ἐόντες ἀπὸ δρυῶν
φηγὸν ἀμφενέμοντο δή,
κοὐδὲν ἄρτιον ἦν σφίσι,
φθέγμα σῶμά τ' ὀλωλόσι.
νοῦς δ' ἐλείπετο τοῖς μόνος,
τίπτε χρῆμα πάθεν γοῶν.
Ὦ χερῶν ἐλαφρῶν πάνυ
σπερμάτων τ' ἀδρανεστάτων,
ἃ τρέπουσι μὲν ἄψεα,
νοῦν δέ γ' οὐ δύναται [2]) τρέπειν.
ἀλλ' ἔσω βρότεον μένος
ὡς ἐς ἀκρόπολιν μένει.
Ταῦτα τὰ θρόνα δὲ βροτοῖς
πλείονα προφέρει βλάβην,
ὡς ἔσω διϊκνούμενα,
μὴ κακοῦντά τε τὸν χρόα,
σβεννύοντα δὲ τὸν νόον.

Ἐγὼ δ' ἐν τούτοις· Ὁμολογῶ, ἔφην, οὐδ' ἔξω τοῦ εἰκότος τοὺς ἐμπαθεῖς ὁρῶ, εἰ καὶ ταμάλιστα τοῦ ἀνθρωπείου σώματος περισώζουσιν εἶδος, ὅμως εἰς θηρία τὴν τῆς ψυχῆς διάθεσιν μεταπλάττεσθαι λεγομένους· ἀλλ' ηὐχόμην μηδαμῶς σφίσιν ἐξεῖναι πρὸς τὸ ἀνήμερον καὶ ἐξάγιστον τῇ πανωλεθρίᾳ τῶν ἀγαθῶν τὴν διάνοιαν ἀποθηριοῦσθαι. Οὐδ' ἔξεστιν, εἶπεν, ὡς κατὰ χώραν δηλωθήσεται τὴν οἰκείαν· τέως δ' οὖν εἰ τοῦτ' αὐτὸ τὸ ἐξεῖναι σφίσιν ἀφαιρεθείη, ἐκ τοῦ πλείονος ἡ τῶν φαύλων ἀνθρώπων τιμωρία κολοβωθήσεται. Καὶ γάρ, ὅπερ ἴσως δὴ καὶ ἄπιστόν τινι δόξει, κακοδαιμονεστέρους ἀναγκαῖον εἶναι τοὺς κακούς, εἰ τοῖς κατ' ἔφεσιν διδοῖεν τέλος, ἢ εἰ μὴ ταῦτα διαπράττεσθαι ἴσχυον. Εἰ γὰρ ἄθλιον τὸ ἑλέσθαι τὰ ἄτοπα, ἀθλιώτερον τὸ καὶ δυνηθῆναι, οὗ χωρὶς παρεῖτο ἂν ἡ δύναμις τῆς ἀθλίας αἱρέσεως. Τὸν δὲ τρό-

[1]) ἔρημος. [2]) Les MSC. dépouillés ont tous le singulier.

που τοῦτον ἑκάστῳ προσούσης τῆς ἰδίας ἀθλιότητος, τριπλῇ κακοδαιμονίᾳ πᾶσά γε ἀνάγκη πιέζεσθαι, οὓς ὁρᾷς τὸ κακὸν βουλομένους, δυναμένους καὶ εἰς πέρας προάγοντας. Συμβάλλω, ἔφην· ἀλλ᾽ ὥστε τῆς τοιᾶσδε βαρυδαιμονίας ὅσον τάχος σφᾶς στερηθῆναι, τῆς ἐπὶ τὸ τὰ ἀνήκεστα δηλονότι τολμᾶν δυνάμεως γυμνωθέντας, ὑπερβαλλόντως ἐν εὐχῇ τίθεμαι. Στερηθήσονται, εἶπε, καὶ θᾶττον ἴσως ἢ σὺ θέλεις, ἢ αὐτοὶ ἑαυτοὺς ὑπολαμβάνουσι στερηθήσεσθαι. Οὐδὲ γάρ ἐστί τι οὕτω μακρὸν ἐν τῇ τοσόνδε βραχείᾳ τοῦ βίου βαλβίδι, ὅπερ ἡ ἀθάνατος ἐς τὰ μάλιστα ψυχὴ ὥστε ἀναμεῖναι μήκιστον ἂν ὑπολάβοι. Καὶ γὰρ αἱ μεγάλαι τούτων ἐλπίδες καὶ τὰ μετέωρα τῶν τῆς μοχθηρίας οἰκοδομῶν ἐξαπιναίῳ τέλει καὶ παρ᾽ ἐλπίδα πᾶσαν πολλάκις ἐκ βάθρων αὐτῶν ἀνασπᾶται· ὃ δὲ καὶ τὴν κακοδαιμονίαν αὐτοῖς ἵστησιν. Εἰ γὰρ πονηρία κακοδαίμονας ἀπεργάζεται, κακοδαιμονέστεροι κατὰ πᾶσάν εἰσιν ἀνάγκην οἱ ἐπὶ μήκιστον τῇ πονηρίᾳ τελούμενοι· τούτους δὲ καὶ κακοδαιμονεστάτους ἀπεφηνάμην ἄν, εἰ μὴ τὴν αὐτῶν πονηρίαν θάνατος γοῦν τὸ τελευταῖον ἀφῃρεῖτο καὶ περιέκοπτεν. Εἰ γὰρ περὶ τοῦ τῆς πονηρίας κακοπραγήματος ἀληθῆ πρόσθεν συνεπεράναμεν, ἀτελεύτητος ἐκ τοῦ προφανοῦς ἡ κακοπραγία, ἣν διαιωνίζουσαν εἶναι συμβέβηκεν. Ἐγὼ δέ· Θαυμασία μέν, ἔφην, ἡ ἐπαγωγὴ καὶ χαλεπῶς ὁμολογίας τυχεῖν δυναμένη· ἀλλὰ τοῖς ἔμπροσθεν ὁμολογηθεῖσι περισσὸν δή τι ταύτην συνερχομένην σκοπῶ. Ὀρθῶς, εἶπεν, ὑπολαμβάνεις· ἀλλ᾽ ᾧ δυσχερὲς δοκεῖ τοῖς συμπεπερασμένοις συνθέσθαι ταὐτόν ἐστι, πότερα ψευδές τι προβὰν ἀποδεῖξαι, ἢ τὴν ἐπαγωγὴν τῶν προτάσεων μὴ ἐφικομένην ἀναγκαίῳ συμπεράσματι παραστῆσαι. Εἰ δ᾽ οὖν, συγκεχωρημένων τῶν προηγησαμένων, οὐδὲν ἕξει καθ᾽ ὅ τι τὴν ἐπαγωγὴν αἰτιάσεται· καὶ γὰρ καὶ ὃ λέξουσα ἔρχομαι, οὐδὲν μεῖον θαύματος ἐχόμενον δόξειεν ἄν, ἀλλ᾽ ἐκ τῶν ληφθέντων κατ᾽ ὀρθὸν λόγον ἀναγκαίως εἰρήσεται. Τί δέ, ἔφην; Εὐδαιμονεστέρους, εἶπε, δίκας πραττομένους εἶναι τοὺς πονηρούς, ἢ εἰ μηδεμία τούτους ἦγχεν ἐκ δικαιοσύνης εὐθύνη. Καὶ οὐ τοῦτο λέγω νῦν ὅπερ ἂν ἐπὶ νοῦν καὶ οὑτινοσοῦν ἀναβαίη, τοὺς κακοτρόπους ταῖς τιμωρίαις παιδεύεσθαι καὶ τῷ φόβῳ τῶν βασάνων εὐθύνεσθαι, ὡς καὶ ἄλλοις παράδειγμα γίγνεσθαι φεύγειν ἀμεταστρεπτὶ τὰ κατηγορίαν

ἀποφερόμενα· ἕτερον δέ τινα τρόπον κακοδαιμονεστέρους τοὺς πονηροὺς ἀτιμωρήτους μένοντας ἀποφαίνομαι, εἰ καὶ μηδεὶς διορθώσεως λόγος ἢ παραδείγματος ἐλπὶς ὑποπτεύοιτο. Καὶ τίς ἔσται παρὰ τούτους, ἐφάμην; Ἡ δέ· Οὐ τοὺς μὲν ἀγαθοὺς, εἶπεν, εὐδαίμονας, τοὺς δὲ κακοὺς δυσδαίμονας ὑπάρχειν συγκατεθέμεθα; Πάνυ μὲν οὖν, ἔφην. Οὐκοῦν, εἶπεν, εἰ τῇ δυσπραγίᾳ τινὸς ἀγαθόν τι προστεθείη, οὐκ εὐδαιμονέστερος ἔσται ἢ ὁ ἀκράτῳ καὶ μονοειδεῖ τῇ δυσπραγίᾳ ἐκτὸς ὁμιλίας ἀγαθοῦ τινὸς χρώμενος; Καὶ πάνυ μοι, ἔφην, δοκεῖ. Εἰ δὲ τῷ δυσπραγοῦντι ἐκείνῳ, εἶπε, τῷ πάντων ἐσπανισμένῳ [1]) τῶν ἀγαθῶν, πλὴν τῶν ἐφ' οἷς τὸ δυσπραγεῖν ἐκληρώσατο, καὶ ἕτερόν τι κακὸν προσγένοιτο, οὐ πολλῷ κακοδαιμονέστερος κριθήσεται τοῦ τὴν δυσπραγίαν κουφιζομένου τῇ τοῦ ἀγαθοῦ μετουσίᾳ; Πῶς δ' οὐκ ἄν, ἔφην; Ἔχουσι τοίνυν οἱ πονηροὶ δίκας ὑπέχοντες καὶ ἀγαθόν τι προσπεπλεγμένον, τὰς δίκας αὐτὰς δηλονότι τὰς τῷ λόγῳ τῆς δικαιοσύνης ἀγαθὰς οὔσας· τοῖς δ' αὐτοῖς κολάσεως ἀπολυομένοις ἁπάσης πρόσεστί τι κακὸν πέρα τῶν προσγεγονότων, ἡ ἀτιμωρησία, ἣν τῷ λόγῳ τῆς ἀδικίας κακὴν ὡμολόγησας. Ἔξαρνος τούτου γενέσθαι οὐκ ἔχω. Μακρῷ τοίνυν κακοδαιμονεστέρους τοὺς πονηροὺς ὑπάρχειν εἰκὸς τοὺς τῇ ἀδίκῳ δεδομένους ἀτιμωρησίᾳ ἢ τοὺς δικαίᾳ ὑποβαλλομένους εὐθύνῃ. Ἀλλὰ διδόναι μὲν δίκην τοὺς μοχθηροὺς δίκαιον, ἀνεπιτιμήτους δὲ διαδιδράσκειν ἐκ τοῦ προφανοῦς ἄδικον. Καὶ τίς τοῦτ' ἀρνήσεται; Μή τι δὲ κἀκεῖνό, φησί, τις ἀρνήσεται, μὴ πᾶν τὸ δίκαιον ὂν ἀγαθὸν εἶναι, κἀκ τοῦ ἐναντίου κακὸν ὂν τὸ ἄδικον; Ἐγὼ δέ· Καὶ ταῦτα μὲν, ἔφην, ἑπόμενα τοῖς μικρὸν ἔμπροσθεν συλλελογισμένοις εἰσί· δέομαι δέ σου, οὐδόλως κολάσεις τινὰς τῶν ψυχῶν μετὰ τὴν ἐκ τοῦ σώματος ἀπαλλαγὴν καταλείπεις; Καὶ πάνυ μὲν οὖν μεγάλας, ἔφη, ὧν τὰς μὲν τὴν τιμωρητικὴν αὐστηρίαν, τὰς δὲ τὴν καθαρτικὴν ἐπιείκειαν οἶμαι μεταχειρίζεσθαι. Ἀλλ' οὐ τὸ νῦν [2]) περὶ αὐτῶν ἐξεκκλησιάσαμεν [3]), τοῦτο δὲ πάλαι δι' ἔργου πεποιήμεθα, ὡς ἂν ἥ γε ἀναξιωτάτη σοι τῶν πονηρῶν δύναμις ἐδόκει, ταύτην γνῷς μηδὲν οὖσαν· οὕς τε διολισθαίνειν ἀνεπιπλήκτους ἐνεκάλεις, ἴδῃς μηδέποτε τῶν τῆς

[1]) MSC. ἐσπανιαμένῳ. [2]) τονῦν. [3]) ἐξεκλησιάσαμεν.

ἰδίας πονηρίας βασάνων ἔξω γινομένους· καὶ τὴν ἐξουσίαν σφῶν, ἣν ὡς τάχιστα συντελεσθῆναι ἱκέτευες, μήτ' ἐπὶ πολὺ μηκυνομένην μάθῃς κακοδαιμονεστέραν τε οὖσαν, ὅσῳ ἂν καὶ ἐπὶ μακρότερον παρατείνοιτο, καὶ κακοδαιμονεστάτην, εἰ καὶ δι' αἰῶνος ἔμενε· πρὸς τούτοις ἀθλιωτέρους εἶναι τοὺς φαύλους τῇ ἀδίκῳ ἀφειμένους ἀνεπιπληξίᾳ, ἢ τῇ δικαίᾳ δίκῃ τιμωρουμένους. Ἦι δὲ γνώμῃ κατάλληλον τὸ βαρυτέρας αὐτοὺς ὑφίστασθαι δίκας, τιμωρίας ἐκτὸς μένοντας. Ἐγὼ δὲ πρὸς ταῦτα· Κατανοοῦντί μοι, ἔφην [1]), τοὺς σοὺς λόγους οὐδὲν ἀληθέστερον λεχθῆναι δοκεῖ· ἣν δὲ πρὸς τὴν τῶν ἀνθρώπων ἀπίδω κρίσιν, τίς ποτ' ἐστὶν ἐκεῖνος, ᾧ ταῦτα οὐχ ὅσον πιστευτέα, ἀλλὰ κἂν ἀκουστέα δόξωσιν; Οὕτως ἐστὶν, εἶπεν. Ἀδυνατοῦσι τοὺς ὀφθαλμοὺς συντραφέντας τῷ σκότῳ πρὸς τὸ φῶς τῆς ὀξυδερκοῦς ἀληθείας ἐπάραι· ἐοίκασί τε τοῖς πετεινοῖς, ὧν τὴν ὄψιν μὲν νὺξ καταλάμπει, τὸ δὲ φῶς τῆς ἡμέρας ἀποτυφλοῖ· τὰς γὰρ ἰδίας ἐπιθυμίας, καὶ μὴ τὴν τῶν ὄντων ἀναλογιζόμενοι τάξιν, ἤτοι τὴν ἐξουσίαν ἢ τὴν ἀτιμωρησίαν τῶν κακῶν εὔδαιμον οἴονται. Ὅρα δὲ καὶ ὅ τι ποτὲ ὁ αἰώνιος νόμος κυροῖ. Τοῖς κρείττοσι διαμορφωσαμένῳ σοι τὴν ψυχὴν οὐδὲν χρέος ἀγωνοθέτου βραβεῖον προϊσχομένου· σὺ γὰρ σεαυτὸν τοῖς ὑψηλοτέροις κατέλεξας, πρὸς τὰ χείρω τὴν σπουδὴν ἀποκλίνας, μὴ ζητήσας ἔξωθεν τὸν δίκην ἐπάξοντα· σὺ γὰρ σεαυτὸν ἐσήραξας ἐς τὰ κάκιστα, οἷάπερ εἰ τὰ μὲν πρὸς γῆν βορβορώδη, τὰ δὲ πρὸς οὐρανὸν ἀτενίζοις, τῶν ἐκτὸς πάντων ἡσυχαζόντων, αὐτῷ τῷ τοῦ βλέπειν λόγῳ, νῦν μὲν τῷ πηλῷ, νῦν δὲ τοῖς ἀστράσι [2]) δόξεις συνεῖναι. Ἀλλ' ὁ πολὺς ὄχλος ἐλάχιστα συνορᾷ τάδε. Τί οὖν; συνθησόμεθα τούτοις, οὓς θηρίοις ἐμφερεῖς ἀπεδείξαμεν; Τί δέ; εἴ τις ἐς τὸ παντελὲς τὴν ὄψιν ἀποβαλὼν ἐξελάθετο καὶ αὐτὴν τὴν τοῦ ὁρᾶν δύναμιν ἐσχηκέναι ποτὲ, κἆτα μηδὲν αὐτῷ πρὸς τὴν ἀνθρωπίνην ὁλοκληρίαν ἐνδεῖν οἴεται, μή τι [3]) καὶ ὑμεῖς οἱ βλέποντες ταὐτὰ τῷ τυφλῷ οἰησόμεθα [4]); Καὶ γὰρ οὐδ' ἐκεῖνο συνδοκοῦν αὐτοῖς ἔσται, ὅπερ ἐπίσης κρατύνεται λόγων ἐρείσμασιν, ἅ γε ἰσχυρὰ, κακοδαιμονεστέρους εἶναι τοὺς ἀδικοῦντας ἢ τοὺς ἀδικουμένους.

---

[1]) MSC. ἔφη. [2]) ἄστρασι. [3]) μήτοι. [4]) Texte : *Num videntes eadem cæcos putaremus?*

Ἠβουλόμην, ἔφην, αὐτῶν ἀκοῦσαι τῶν λόγων. Πάντα, φησὶν, ἀδόκιμον ἀπαρνήσῃ μὴ κολάσεως ἄξιον καθεστάναι [1]; Πολλοῦ γε καὶ δεῖ. Κακοδαιμονεστέρους δ' εἶναι τοὺς πολλαπλάσιον ἀδοκίμους; Φανερὸν τοῦτο μᾶλλον ἢ πᾶν. Ἐπ' ἀμφότερα δ' ἕξεις μὴ δυστήνους εἶναι τοὺς ἀξίους κολάσεως; Καὶ τοῦτο τοῖς λοιποῖς σύμφωνον. Εἰ διαιτητὴς τοίνυν ἐκάθισας, πότερόν ποτε τιμωρίαν ὄφλειν [2]) ἐνόμισας τὸν ἐργασάμενον ἢ τὸν παθόντα τὴν ἀδικίαν; Ἀπροφασίστως, ἦν δ' ἐγὼ, τῷ καταπονουμένῳ ἐπήμυνα, τὸν ἀδικοῦντα μετελθὼν τιμωρίᾳ. Ἀθλιώτερος ἄρα σοι ὁ τὴν ἀδικίαν ἐπενεγκὼν ἢ ὁ ὑπενεγκὼν ἔδοξεν; Ἕπεται, εἶπον. Ταύτῃ τοιγαροῦν, ἔφη, τῇ αἰτίᾳ καὶ ἑτέραις ὡς ἐπὶ ῥίζαν αὐτὴν ἐρειδομέναις, ὅτι περ [3]) ἡ φαυλότης τῇ ἰδίᾳ φύσει ἀθλίους ἀποτελεῖ, ἐνδηλότατον τὴν ἐπιφερομένην ἀδικίαν τινὶ μὴ τοῦ ὑφισταμένου, τοῦ δ' ἐπάγοντος ἀθλιότητα καθεστάναι [4]). Νυνὶ δέ γε τοὐναντίον δρῶσιν οἱ ῥήτορες· ὑπὲρ γὰρ τῶν βαρὺ καὶ ἀνήκεστόν τι ὑπομεινάντων τὸν τῶν δικαστῶν ἔλεον ἐκκαλεῖσθαι σπουδάζουσι· χρῆν δὲ οὐχὶ δικαιοτέρου μᾶλλον τοῦ οἴκτου τοῖς πλημμελοῦσιν ὀφειλομένου, οὓς ἀπὸ κατηγόρων οὐδ' ὁπωστιοῦν ὀργιζομένων, ἀλλ' εὐμενῶν τε καὶ οἰκτιζομένων, πρὸς τὸ δικαστήριον ὡς νοσοῦντας πρὸς ἰατρὸν κομίζεσθαι ἔδει, ὥστε τὴν τῆς ἁμαρτίας νόσον ἀφελέσθαι ταῖς τιμωρίαις. Τὸν δὲ τρόπον τοῦτον ἡ τῶν συνηγορούντων σπουδὴ ἤτοι παντάπασι κατέψυκτο ἢ, εἴπερ ὄφελός τι τοῖς ἀνθρώποις εἶναι ἠβούλετο, εἰς κατηγορίας μετεβάλλετο σχῆμα. Καὶ αὐτοὶ δὲ οἱ φαῦλοι, εἰ θεμιτὸν ἦν σφίσιν ἀμυδρᾷ γοῦν τινὶ ἐμφάσει τὴν ἀρετὴν αὐγάζεσθαι ἣν κατέλιπον, καὶ τὴν τῶν παθῶν βδελυρίαν κολάσεσι καὶ στρεβλώσεσιν ὑποβεβλημένους ἑαυτοὺς ἔβλεπον. Σκοπῷ δὲ τοῦ τῆς ἀρετῆς αὖθις ἐπιτυχεῖν, οὐδὲ τὰς ἐν τοῖς δικαστηρίοις πληγὰς βασάνους ἡγοῦντο, τῆς τε τῶν συνηγόρων ἐπικουρίας ἠμέλουν, καὶ ὅλων ἑαυτῶν τοῖς τε πρὸς δίκην ὑπάγουσι καὶ τοῖς δικασταῖς παρεχώρουν. Ἐντεῦθεν δὲ παρὰ τοῖς σοφοῖς οὐδεμία τὸ πάντῃ [4]) μίσους ὑπολιμπάνεται χώρα. Τίς γὰρ τοὺς μὲν ἀγαθοὺς, εἰ μὴ δυσθεράπευτον τὴν ἄνοιαν τρέφει, μισήσει; τοὺς δὲ κακοὺς μισῆσαι παράλογον. Καὶ γὰρ ὡς ἀῤῥωστία σω-

---

1) MSC. καθεστᾶναι. 2) plutôt ὀφλεῖν. 3) ὅ, τι περ. 4) τοπάντῃ.

μάτων, οὕτω καὶ ἡ κακία ὡσανεί τι τῶν ψυχῶν πέφυκε νόσημα. Τῶν δὲ τὸ σῶμα νοσούντων ἥκιστα μίσους, ἀλλ' οἴκτου παρὰ πάντα ὑφ' ὑμῶν ἀξιουμένων, πολλῷ μᾶλλον οὐ καταφέρεσθαι τούτων, ἀλλ' ἐλεεῖν μᾶλλον προσῆκεν, ὧν τὴν διάνοιαν ἡ πάσης ἀῤῥωστίας χαλεπωτέρα φαυλότης ἐκτρέχει.

Τί χρὴ πράγματα τόσσ' ἔχειν πρὸς οὐδὲν,
χειρί τε τῇ σφετέρῃ πότμον ὀρινέμεναι;
Εἰ ζητεῖτε μόρον, πάρ' οὗτος ἄσσον
αὐτόμολος, ἵππους ὠκέας οὐκ ἐπέχων.
Φεῦ, οὓς ἄρκτος, ὄφις, τίγρις, λέων, σῦς
ἔχθουσ' [1]), ἀλλήλοις ἀντιφέροντ' ἐν ὅπλοις.
Ἆρ' ὅτ' ἀντίθετα [2]) τρέφουσιν ἤθη,
κινοῦσι στρατιὰς καὶ πολέμους ἀδίκους,
ἀλλήλων τ' ἐθέλουσι δουρὶ θνήσκειν;
ἀλλ' ὠμοφροσύνης οὐ σκεθρός ἐσθ' ὁ λόγος.
Βούλει πρόσφορος ἔμμεναι σὺ πᾶσι;
τοὺς ἀγαθοὺς ἀγάπα, τοὺς δὲ κακοὺς ἐλέει.

Ὁρῶ, ἔφην, ποία τις ἤτοι εὐδαιμονία ἢ κακοδαιμονία αὐτῇ τῇ τῶν χρηστῶν τε καὶ πονηρῶν ἐμπέφυκε διαθέσει. Ἀλλ' αὐτῇ ταύτῃ τῇ δημώτιδι τύχῃ ἀγαθόν τι καὶ κακὸν ὑποτοπάζω προσεῖναι. Καὶ γὰρ οὐδείς ποτε τῶν ἐλλογίμων φυγάς, πένης καὶ ἀφανὴς ὑπάρχειν ἂν εὔξαιτο μᾶλλον, ἢ τῇ περιουσίᾳ λαμπρὸς, τὴν τιμὴν σεβάσμιος, τὴν δυναστείαν ἰσχυρὸς, κἂν τῇ ἑαυτοῦ πόλει μένων ἀνθεῖν καὶ ἀκμάζειν. Τότε καὶ γὰρ περιφανέστερόν τε καὶ ἀξιολογώτερον ἡ ἐνέργεια τῆς σοφίας διαπονεῖται, ἡνίκα πρὸς τοὺς ἀνήκοντας δήμους ἡ τῶν τὰ κοινὰ ἐπιτετραμμένων εὐδαιμονία τρόπον τινὰ διαδίδοται, ἡνίκα δεσμωτήριον ὅτι μάλιστα καὶ νόμοι καὶ τὰ κοινὰ τῶν νομίμων, ἔτι γε μὴν βάσανοι καὶ στρεβλώσεις τοῖς [3]) ἀνοσιουργοῦσι, δι' οὓς καὶ κατεστάθησαν, μᾶλλον ἢ τοῖς πολίταις ὀφείλονται. Ἀντὶ τοῦ τοίνυν τὴν ἐναντίαν τάξιν αὐτῶν λαμβανόντων, αἱ μὲν τοῖς κακουργήμασι προσήκουσαι ταλαιπωρίαι τοὺς ἀγαθοὺς, τὰ δὲ τῶν ἀρετῶν ἆθλα οἱ πονηροὶ καθαρπάζουσιν, ὑπερ-

---

[1]) MSC. ἔχθους. [2]) ἂν τίθεται, leçon évidemment fautive. Weber et les MSC. de Paris, collationnés par Hase et par Boissonnade, lisent ἀντίθετα.
[3]) ταῖς.

βαλλόντως ἐκπλήττομαι· τίς ποτε δ' ἂν ὁ τῆς ἀδίκου τῆσδε συγχύσεως λόγος δόξειε πρὸς σοῦ μαθεῖν ὀριγνῶμαι. Ἧττον καὶ γὰρ ἂν ἐποιούμην ἐν θαύματι, εἴ γε συμφύρεσθαι πάντα τυχηροῖς συμπτώμασιν ἐπειθόμην. Ἀλλὰ τὴν ἐμὴν ταύτην ἔκπληξιν ὁ πάντα διευθύνων ἐκλυσάσθω θεός, ὃς πολλάκις τοῖς μὲν ἀγαθοῖς θυμήρη, τοῖς δὲ πονηροῖς παρέχων ἐπίπονα, κἀκ τοῦ ἐναντίου τοῖς μὲν χρηστοῖς ἀντίτυπα, τοῖς δὲ φαύλοις τὰ εὐκταιότατα συγχωρεῖ. Εἰ μὴ γὰρ εἰς κατάληψιν τῆς τούτων αἰτίας ἥξομεν, οὐδέν ἐστι καθότι τῶν τῆς τύχης δόξουσι διαφέρειν συμπτώσεων. Οὐκ ἔστιν οὐδὲν παράδοξον, εἶπεν, εἴ τι πλημμελές τε δοκεῖ καὶ συγχύσεως ἔμπλεων, ἀγνοουμένου τοῦ λόγου τῆς ἐν αὐτῷ τάξεως. Σὺ δ' οὖν, εἰ καὶ μὴ τὴν αἰτίαν τῆς τοσῆσδε διατάξεως ἐπίστῃ, ὅμως ἐπειδήπερ ἀγαθὸς τὸν κόσμον ἡγεμὼν διοικεῖ, ὀρθῶς τὰ πάντα γίγνεσθαι μὴ ἀμφίβαλλε.

Εἴ τις ἀρκτούρου μὴ μάθεν ἄστρα
κυκλοῦντος αἰὲν ἄξονος ἄγχι,
πῶς ποτ' ὀκναλέως εἶσι βοώτης,
ὅν τε σχολῇ φῶς νάμασι βάπτει,
καίπερ ἀντέλλων ὅττι [1]) τάχιστα,
θαμβήσεται πᾶς εἱρμὸν Ὀλύμπου·
τῆς γε μὴν μήνης πλησιφαούσης [2])
ἰσχνοῦντ' [3]) ἀν' ὄρφνην ἄστρα φαεινά·
ἢν δέ γ' ἔκλειψιν τῆμος ὑποστῇ,
ἐξαῦτις ἄστροις φῶς ὀρέγουσα,
θᾶττον οἱ λαοὶ θάμβεϊ πολλῷ
θείνουσι πυκνῶς ἄγγεα χαλκᾶ.
Θρασκίου δ' οὐδεὶς θαύμασε πνοιὴν,
πῶς ἠόνας δὴ κύμασι βάλλει,
πῶς δ' ἀτειρήεις [4]) χιόνος ὄγκος
Φοίβου φλογείῳ [5]) λύεται αἴγλῃ·
αἰτίας γὰρ τῶνδ' εὐπετὲς ἀθρεῖν,
κείνων δ' ἄδηλοι συνθροέουσι
πᾶν θ' [6]) ὅ γε σπανίως ἡ φύσις ἔρδει [7]),
ἐκπλῆττον αἴφνης ἄνδρας ἀγνῶτας·
ἢν νέφος λυθῇ τῆς ἀϊδρείης,
λήξει παρευθὺς θάμβος ὁρᾶσθαι.

---

[1]) MSC. ὅτι. [2]) Mot nouveau. πλησιφαὴς se trouve dans le même sens. [3]) ἰσχνοῦν τ'. [4]) Forme nouvelle pour ἀτειρής. [5]) Weber φλογείᾳ. La forme φλόγειος pour φλόγεος est nouvelle. [6]) πᾶν δ'. [7]) ἔρδει.

Οὕτως ἐστὶν ἔχον, ἐφάμην· ἐπεὶ δὲ πρὸς τῆς σῆς ἐστὶ χάριτος τὸ τὰς αἰτίας τῶν ἀποκρύφων ἀνακαλύπτειν καὶ τοὺς συνεσκιασμένους λόγους εἰς φῶς προάγειν, ἐντεῦθεν ἀντιβολῶ τὴν ἐπίλυσιν τῶν λόγων καὶ σαφήνειαν ποιεῖσθαι [1]· τὸ γὰρ τῇδε τεράστιον διαφερόντως με συγχεῖ καὶ ταράττει. Ἡ δὲ, ἄκροις χείλεσι διαμειδιάσασα· Εἰς πρᾶγμά με, εἶπε, καλεῖς πάντων κατὰ τὴν ζήτησιν μέγιστον, οὗπερ ἀγαπητὸν εἰ καὶ ὁποσονοῦν ἀρυσαίμεθα. Τοιάνδε γὰρ τὴν πραγματείαν προτείνεις, ὥστε μιᾶς ἐν αὐτῇ ἀπορίας ἀναιρουμένης, ἀμυθήτους ἑτέρας ὡς ὕδρας κεφαλὰς ἀναφύεσθαι, καὶ πᾶσαν μηχανὴν ἐν ἀπόροις γίγνεσθαι, εἰ μή τις αὐτὰς τῷ ζωτικῷ τῆς διανοίας πυρὶ εἴργοι καὶ ἀναστέλλοι. Ἐν ταύτῃ καὶ γὰρ περὶ τοῦ τῆς προνοίας ἁπλοῦ, περὶ τάξεως εἱμαρμένης, περὶ συμπτωμάτων ἐκ ταὐτομάτου [2], περὶ γνώσεως καὶ προορισμοῦ θείου, περὶ τοῦ τῆς προαιρέσεως ἐλευθέρου ζητεῖσθαι εἴωθεν· ὧν πόσον τὸ χαλεπὸν [3] καὶ δυσέφικτον καὶ αὐτὸς ἐφιστάνεις. Ἀλλ' ἐπεὶ καὶ τὸ τάδε μαθεῖν σε μερίδα τινὰ τῆς σῆς θεραπείας οὖσαν ἐπίσταμαι, εἰ καὶ ταμάλιστα τῷ καιρῷ συγκλειόμεθα καὶ εἰς κομιδῇ στενὸν ἀπολαμβανόμεθα, ὅμως πειρασόμεθά τι διευκρινῆσαι. Σὲ δὲ, εἰ καὶ τῷ τερπνῷ μάλιστα τῶν μουσικῶν ᾀσμάτων ἡδύνῃ, δεήσει ταύτην ὑπερθέσθαι πρὸς μικρὸν τὴν ἐπιθυμίαν, ἐν ᾧ τοὺς συνεχεῖς ἀλλήλοις καὶ σύῤῥους ὑφαίνω λόγους. Εὖ λέγεις, ἦν δ' ἐγώ. Τότε δὴ, ὡς ἀπ' ἄλλης ἀρχῆς ἐνστησαμένη, ὧδέ πῃ διετίθει τὸν λόγον· Πᾶσα τῶν ὄντων γένεσις καὶ πᾶσα τῶν ξενιζουσῶν φύσεων πρόοδος καὶ ὅ τι δήποτε τρόπον τινὰ κίνησιν ἴσχει, τά τε τῆς αἰτίας καὶ τάξεως καὶ ὅσα γε θεωρεῖται περὶ τὸ σφέτερον εἶδος, ἐκ τοῦ σταθηροῦ καὶ μονίμου τῆς θείας διανοίας κληρωσάμενον ἔχει. Αὕτη δὲ κατὰ τὴν ἀκρόπολιν τῆς ἰδίας ἁπλότητος ἱδρυμένη, παντοδαπὸν τοῖς οὖσιν ἐφ' ᾧ διοικοῖντο τρόπον ἐπέστησεν· ὃς, ἡνίκα μὲν ἐν αὐτῷ τῷ τῆς θείας διανοίας εἰλικρινεῖ κατανοεῖται, π ρ ό ν ο ι α προσηγόρευται· ἡνίκα δὲ πρὸς ταῦτα ἃ δὴ κινεῖ τε καὶ διαχωρίζει τὴν ἀναφορὰν ἔχει, ε ἱ μ α ρ μ έ ν η πρὸς τῶν παλαιτέρων ὠνόμασται· ἃ δὴ καὶ διάφορα ὄντα ῥᾷστα καταφανήσεται, εἴ τις τὴν ἑκατέρου δύναμιν ἐπιστήσας εἰς λογισμὸν δοίη.

[1]) MSC. ποιεῖται. [2]) ταυτομάτου. [3]) χαλεπτὸν.

Καὶ γὰρ πρόνοια μέν ἐστιν αὐτὸς ἐκεῖνος ὁ θεῖος λόγος ἐν τῷ κορυφαίῳ πάντων ἡγεμόνι ἐνιδρυμένος καὶ πάντα διατιθείς, εἱμαρμένη δὲ ἡ τοῖς ἐν κινήσει οὖσιν ἐναρμοζομένη διακόσμησις, δι' ἧς ἡ πρόνοια ταῖς ἰδίαις διασκευαῖς ἕκαστα τῶν ὄντων συνάπτει. Ἡ μὲν γὰρ πρόνοια ἅπαντα ἐκ τοῦ ἴσου, κἂν εἰ διενηνόχασι, κἂν εἰ πρὸς ἀπειρίαν ἐξίασι, περιέχει· ἡ δ' εἱμαρμένη τὰ καθ' ἕκαστα συγκαθίστησι, κίνησιν αὐτοῖς καὶ τόπον καὶ σχῆμα καὶ χρόνον νέμουσα, ὡς τὴν μὲν τῆς χρονικῆς διατάξεως ἐξάπλωσιν ἐν τῇ τῆς θείας γνώσεως προλήψει εἰς ταὐτὸν συνιοῦσαν πρόνοιαν εἶναι, ταύτην δὲ τὴν εἰς ταύτην ἕνωσιν αὖθις διανεμηθεῖσάν τε καὶ ἀνελιχθεῖσαν καὶ ἐξαπλωθεῖσαν τῷ χρόνῳ, εἱμαρμένην γε προσειρῆσθαι. Ταῦτα δὲ εἰ καὶ ταμάλιστα διαλλάττει, θάτερον ὅμως θατέρου ἤρτηται. Ἡ γὰρ τῆς εἱμαρμένης διάταξις ἐκ τοῦ τῆς προνοίας ἁπλοῦ πρόεισι. Καὶ γὰρ ὡς ὁ τεχνίτης, τοῦ κατασκευασθησομένου τὸ εἶδος ἔργου κατὰ νοῦν διαλαμβάνων, ἀνελίττει καθ' ἑαυτὸν τὴν τοῦ ἔργου περάτωσιν, καὶ ὅπερ ἁπλῶς τε καὶ κατὰ τὸ ἐνεστηκὸς διεσκέψατο, διὰ χρονικῆς ἀκολουθίας ἐκφαίνει, τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ θεὸς τῇ προνοίᾳ μὲν μονοειδῶς καὶ ἀδιαστάτως τὰ ποιητέα διασκευάζει, τῇ δ' εἱμαρμένῃ αὐτὰ ταῦτα ἅ γε διέθετο ποικιλοτρόπως καὶ χρονικῶς ἐνεργεῖ. Εἴτ' οὖν ὑπηρετουμένοις τισὶ τῇ προνοίᾳ θείοις πνεύμασι τὰ καθ' εἱμαρμένην τελεῖται, εἴτε ψυχῇ, εἴτε συμπάσης διακονουμένης τῆς φύσεως, εἴτε ταῖς οὐρανίαις τῶν ἀστέρων κινήσεσιν, εἴτε ἀγγελικῇ δυνάμει, εἴτε δαιμόνων διαφόρῳ ἐπιμελείᾳ, εἴτε τούτων ἐνίοις, εἴτε πᾶσιν ἑξῆς ἡ τῆς εἱμαρμένης διεξαγωγὴ καθυφαίνεται, ἐκεῖνο ἐκ τοῦ βεβαίου καταφανές, ἀκίνητον καὶ ἁπλῆν τῶν γιγνομένων πραγμάτων μορφὴν εἶναι τὴν πρόνοιαν, τὴν εἱμαρμένην δὲ τῶν ἅπερ ἡ θεία ἁπλότης ποιητέα διέταξε κινουμένην ἀπαρτίαν [1] καὶ πλοκὴν καὶ τάξιν ἐν χρόνῳ. Ὡς ἐντεῦθεν πάντα μὲν τὰ ὑπὸ τὴν εἱμαρμένην τελοῦντα καὶ τῇ προνοίᾳ ὑποκεῖσθαι, ᾗ καὶ αὐτὴ δῆτα ἡ εἱμαρμένη προσήκει, τινὰ [2] δὲ τὰ ὑπὸ τῇ προνοίᾳ ταττόμενα ἀπηλλάχθαι τῶν τῆς εἱμαρμένης διαταγμάτων. Ταῦτα δ' εἰσὶν ὅσα τῇ πρώτῃ θειότητι προσπελάζοντα παγίως καὶ ἀμετακινήτως ὑπερβαίνει τὴν διάθεσιν, ἣν ἡ κίνησις

[1]) MSC. ἁμαρτίαν. Texte: *mobilem nexum.* [2]) τίνα.

ἐπιφέρει τῆς εἱμαρμένης. Κύκλων καὶ γὰρ περὶ τὸν αὐτὸν ἑαυτοὺς πόλον στρεφόντων, ὁ μὲν ἐνδότατος πρὸς μὲν τὴν ἁπλότητα πρόςεισι μᾶλλον τοῦ μέσου· τῶν δὲ λοιπῶν, οἷς ἐκτὸς κεῖσθαι συμβέβηκεν, οἷά τις πόλος [1]) περὶ ὃν οὗτοι στρέφονται γίνεται· ὡς δ' ὁ τελευταῖος καὶ ἐπὶ πᾶσι μείζονι περιαγόμενος τῇ περιφερείᾳ, ὅσῳ τοῦ μέσου καὶ ἀδιαιρέτου κέντρου ἀνακεχώρηκε, τοσούτῳ καὶ ἐπιμηκεστέροις ἐκτείνεται διαστήμασιν· εἰ δέ τι τῷ μέσῳ συνάπτεται καὶ ἑνοῦται, καὶ αὐτὸ πρὸς τὴν ἁπλότητα συνελαύνεται τοῦ διαχεῖσθαί τε καὶ σκεδάννυσθαι λαμβάνει ἀνακωχήν. Τὸν αὐτὸν λόγον καὶ τὸ ποῤῥώτερον [2]) τῆς πρώτης ἐκείνης διανοίας ἀπῳκισμένον μείζοσι τῆς εἱμαρμένης εἱρμοῖς πλέκεται, τοσοῦτον δὲ ἕκαστον τῆς εἱμαρμένης ἀφεῖται ὅσον ἐγγυτέρω τῇ κορυφῇ τῶν ὄντων προσομιλεῖ. Ὥστε εἰ καὶ τῷ στασίμῳ καὶ βεβηκότι τῆς ἀνωτάτω διανοίας προσκολληθείη, ἀφῃρημένον ἤδη τὴν κίνησιν ὑπεραναβήσεται καὶ τὴν ἀνάγκην τῆς εἱμαρμένης. Ταύτῃ τοι καὶ ὡς ἔστι πρὸς μὲν νοῦν ὁ προφερόμενος λόγος, πρὸς δὲ τὸ ὂν τὸ γιγνόμενον, πρὸς τὸν αἰῶνα χρόνος, πρὸς μέσον τὸ κέντρον κύκλος, οὕτω καὶ ἡ κινουμένη τῆς εἱμαρμένης τάξις πρὸς τὴν σταθηρὰν τῆς προνοίας ἁπλότητα. Αὕτη ἡ τάξις οὐρανὸν καὶ ἀστέρας κινεῖ, τὰ στοιχεῖα πρὸς ἄλληλα διαλλάττει [3]) καὶ ἀμοιβαίᾳ μεταστοιχειώσει μεταποιεῖ, ἡ αὐτὴ τὰ γιγνόμενα καὶ φθειρόμενα πάντα ἀπαραλλάκτῳ προόδῳ σπερμάτων καὶ γονῆς ἀναζωπυρεῖ. Αὕτη τά τε τῶν ἀνθρώπων ἔργα καὶ τύχας ἀδιαλύτων αἰτιῶν πλοκῇ χαλινοῖ· ταύτης καὶ γὰρ ἐκ τῆς ἀκινήτου προνοίας προϊούσης ἀρχῆθεν, καὶ τὰς αἰτίας ἀκινήτους ἐπάναγκες εἶναι. Ὧδε γὰρ ἄριστα τὰ ὄντα διοικηθήσεται, εἰ μένουσα ἐν τῇ θείᾳ διανοίᾳ ἡ ἁπλότης ἀναπόδραστον αἰτιῶν τάξιν προάγοι· ἡ δὲ τάξις αὕτη τὰ τὴν μεταβολὴν ἀγχίστροφον κεκτημένα τῶν ὄντων καὶ ἀκρατῶς ἑαυτῶν ἔστιν ὅτε ῥεύσαντα ἂν τῷ ἑαυτῆς ἀμεταβλήτῳ εἴργοι καὶ ἀναστέλλοι. Ἐνθένδε γοῦν, εἰ καὶ ὑμῖν τήνδε τὴν τάξιν οὐδεμιᾷ μηχανῇ εὐποροῦσιν ἰσχύος καταμαθεῖν ἄνω καὶ κάτω φέρεσθαι πάντα καὶ συγχύσεως ἀναπεπλῆσθαι δοκεῖ, ἀλλ' οὐδὲν μεῖον ἡ φύσις αὐτῆς πρὸς τἀγαθὸν παρὰ τοῦτο ἀπευθύνουσα πάντα διεξάγει. Οὐδὲν

---

[1]) MSC. πῶλος. [2]) ποῤῥότερον. [3]) διαλάττει.

γάρ ὃ κακοῦ ἕνεκεν οὐδ' ἀπ' αὐτῶν ἂν τῶν μοχθηρῶν γένοιτο, οὓς, ὡς δαψιλῶς ἀποδέδεικται, τἀγαθὸν ζητοῦντας παραπαίουσα πλάνη διαστρέφει, ὡς μὴ ἡ τάξις αὕτη τῆς ἄκρας τοῦ ἀγαθοῦ κορυφῆς προϊοῦσα τῆς ἰδίας ἐκκλίνῃ ἀρχῆς. Καὶ ποία δέ ποτε, φήσεις, οἵα τε ἀτοπωτέρα σύγχυσις εἶναι, ἢ τὸ τοῖς ἀγαθοῖς ὁτὲ μὲν τὰ ζηλωτὰ, ὁτὲ δὲ θἄτερα, καὶ τοῖς πονηροῖς αὖθις νῦν μὲν τὰ εὐκταιότατα, νῦν δὲ τὰ ἀποτρόπαια συναντᾷν; Μή τι γοῦν ταῦτα ὑγιεῖ διανοίᾳ ψηφίζονται ἄνθρωποι, ὡς οὓς ἂν εὐδοκίμους κρίνειαν ἢ ἀδοκίμους, καὶ τοιούτους οἵους ὑπειλήφασιν εἶναι πᾶσαν ἐπικεῖσθαι ἀνάγκην; Καὶ μὴν ἐν αὐτῷ τούτῳ ζυγομαχοῦσι τῶν ἀνθρώπων αἱ κρίσεις, καὶ οὓς ἕτεροι βραβείων, ἄλλοι τιμωρίας ἀξίους νομίζουσιν. Ἀλλ' ἔστω, δεδόσθω δύνασθαί τινα τοὺς ἀγαθοὺς διαγινώσκειν καὶ πονηρούς· ἆρ' οὖν ὁ τοιοῦτος διοπτεύειν ἕξει καὶ τὴν τῶν ψυχῶν, ὡς ἐν τοῖς σώμασιν εἴωθε λέγεσθαι, κρᾶσιν; Οὐδὲ γὰρ οὐδ' ἄλλως διὰ θαύματός ἐστι καὶ τῷ ἀγνοοῦντι, τί δήποτε τῶν εὖ ἐχόντων σωμάτων, οἷς μὲν τὰ γλυκέα συντείνει, οἷς δὲ τὰ πικρά· ὅτου δὲ χάριν τῶν νοσούντων αὖθις εἰσὶ μὲν οἱ τοῖς ἠπιωτέροις [1]), εἰσὶ δὲ οἱ τοῖς δραστικωτέροις τῶν φαρμάκων ὠφελείας τυγχάνουσιν. Ἀλλὰ τοῦτο μὲν ὁ ἰατρὸς, ὁ τῆς τε ὑγιείας καὶ ἀῤῥωστίας τὸν τρόπον διαγινώσκων καὶ τὴν διάθεσιν, ἥκιστα ποιεῖται ἐν θαύματι. Τί δὲ τῶν ψυχῶν ὑγίεια δοκεῖ ἕτερον εἶναι ἢ ἀρετή; τί δὲ νόσος ἕτερον ἢ κακία; τίς δὲ ἄλλος ἢ τῶν ἀγαθῶν φύλαξ ἢ τῶν κακῶν ἐλατὴρ, ἢ ὁ τῶν ψυχῶν οἰκονόμος καὶ θεραπευτὴς θεὸς, ὃς ἐκ περιωπῆς τῆς προνοίας ἐπισκεψάμενος τὸ ἑκάστῳ τε συνοῖσον ἔγνω, καὶ ὃ συνοίσειν ἐδοκίμασεν ἐνεχείρησεν; Κἀντεῦθεν δὴ συμβαίνει τὸ περιβόητον θαῦμα τῆς ἐξ εἱμαρμένης τάξεως πρὸς τοῦ εἰδότος οἰκονομούμενον, παρὰ τοῖς ἀγνοοῦσιν ἔκπληξιν οὐ μετρίαν παρέχειν. Καὶ γὰρ, ἵνα βραχέ' ἅττα καὶ ὅσα γε λόγος ἀνθρώπινος ἱκανός ἐστι, περὶ θείου βάθους καὶ ἀκαταληψίας στενολεσχήσω τε καὶ συγκεφαλαιώσω περὶ τούτου, ὃν σὺ δικαιότατον καὶ τοῦ ὀρθοῦ φυλακτικώτατον οἴει, τῇ τὰ πάντα ἐπισταμένῃ προνοίᾳ τοὐναντίον δοκεῖ. Καὶ τὴν μὲν περιγενομένην αἰτίαν τοῖς θεοῖς, τὴν δὲ ἡττηθεῖσαν τῷ Κάτωνι εὐδοκουμένην

[1]) MSC. ἠπιωτέροις.

γεγονέναι, ὁ οἰκεῖος ἡμῖν Λουκανὸς ὑπηγόρευσεν [1]. Ἐνταῦθα τοίνυν ὅ τι ἂν παρὰ προσδοκίαν βλέπῃς γινόμενον, τοῦτο τοῖς μὲν πράγμασιν ἀπαρέγκλιτός ἐστι τάξις, τῇ δ᾽ ὑπολήψει τῇ σῇ ἀστάθμητος σύγχυσις. Ἀλλ᾽ ὑποκείσθω τις τῶν οὕτω σπουδαίων, ὡς τὴν θείαν τε καὶ ἀνθρωπίνην περὶ αὐτοῦ κρίσιν ἐκ τοῦ ἴσου συνᾴδειν· ἀλλ᾽ ἔστιν ὁ τοιοῦτος τὰς ψυχικὰς ἀσθενὴς δυνάμεις· κἂν εἰ προσπέσοι τι τῶν ἐναντίων αὐτῷ, στήσεται ἴσως τοῦ τιμᾶν ἀρετήν, δι᾽ ἧς οὐκ ἔσχεν εἰς τέλος τὴν ἰδίαν συντηρῆσαι εὐδαιμονίαν. Φείσεται τοιγαροῦν αὐτοῦ ἡ προνοητικωτάτη πάντων διάταξις, ὃν χείρω ποιεῖν τὸ τῆς τύχης ἐναντίωμα πέφυκε, μή ποτε ᾧ μὴ τοῦτο [2]) λυσιτελεῖ τοῖς ἐπιπόνοις ἀποκναισθείη. Ἔστιν ἕτερος πάσης μὲν τῆς ἀρετῆς ἐλάσας εἰς ἔσχατον, ὅσιός τε καὶ προσεγγίζων θεῷ· τοῦτον περιπεσεῖν προσάντει τινὶ ἀθέμιτον ἡ πρόνοια κρίνει, κἀπὶ τοσοῦτον ὡς μηδ᾽ ὑπὸ σωματικῶν ἐᾶν νόσων θορυβηθῆναι. Ὡς γάρ τις καὶ ἐμοῦ [3]) ὑψηλότερος ἔφη· Ἀνδρὸς ἱεροῦ σῶμα δυνάμεις οἰκονομοῦσιν, ἐπέρχεται πολλάκις τοῖς ἀγαθοῖς τὴν μεγίστην ἐπιτρέπεσθαι τῶν πραγμάτων ἡγεμονίαν, ὡς ὑπερμαζῶσαν ἀναχαιτίζειν τὴν πονηρίαν. Ἑτέροις κεκραμένα τινὰ κατὰ τὴν τῶν ψυχῶν ποιότητα διανέμει· ἄλλους ἀηδοῦς συγχωρεῖ πειραθῆναι, ὡς ἂν μὴ εἰς τὴν μακρὰν ἐξυβρίσαιεν εὐμένειαν· ἄλλους χαλεπῶς ἐνοχλεῖσθαι, τοῦ τὰς ἀρετὰς τῆς ψυχῆς τῷ φερεπόνῳ τε καὶ τῷ τῆς ἀσκήσεως ἐθισμῷ κρατυνθῆναι. Ἕτεροι πλεῖν ἢ δίκαιον δεδίασιν ὃ δυνατοί εἰσιν ἐνεγκεῖν. Ἕτεροι μᾶλλον ἢ δεῖ καταυθαδίζονται, τοῦ ἥκιστα φορητοῦ σφίσιν ὑπάρχοντος· τοὺς μὲν εἰς δοκιμασίαν αὐτῶν ἀλγεινοῖς ὑποβάλλει, τινὲς δὲ σεβάσμιον ὄνομα κατὰ τὸν βίον ἐπιδόξου θανάτου τιμῆς ἐωνήσαντο. Εἰσὶν οἳ, τιμωρίαις ἀκαταμάχητοι μείναντες, ὑπόδειγμα τοῖς λοιποῖς προτεθείκασιν ἀήττητον κακοῖς τὴν ἀρετὴν εἶναι. Ταῦτα δὲ ὡς οὐκ ὀρθῶς καὶ οἰκονομικῶς καὶ ἐπ᾽ ἀγαθῷ τούτων οἷς προσιέναι δοκοῦσι γίγνονται, οὐδ᾽ ὁποιανοῦν ἀμφισβήτησιν εἰκὸς ἕπεσθαι. Καὶ γὰρ κἀκεῖνο τὸ τοὺς πονηροὺς νῦν μὲν ἐπαχθῶν, νῦν δὲ προσφιλῶν ἀπολαύειν, τῶν αὐτῶν αἰτίων ἐξῆπται. Καὶ τῶν μὲν

[1]) Lucain, Phars. I, 126. [2]) MSC. τούτῳ. [3]) Note de Planude : τοῦ Βοηθοῦ δηλαδὴ, οὐ τῆς Φιλοσοφίας. La citation est incertaine.

ἐπαχθῶν εἵνεκα οὐδείς, ὥς γε ἐμαυτὸν πείθω, θαῦμα ποιεῖται· πάντες γὰρ κακοῖς ὑπόχρεως σφᾶς ὑπειλήφασιν, ὧν αἱ κολάσεις τοῦτο μὲν τοὺς ἄλλους τῶν πονηριῶν ἀνακόπτουσι, τοῦτο δὲ καὶ αὐτοὺς οἷς ἐπιφέρονται διορθοῦνται· τὰ δὲ ἡδέα μεγάλην ὑπαγορεύει τοῖς ἀγαθοῖς τὴν ἀπόδειξιν, τίνα ποτὲ περὶ τῆς τοιᾶσδε χρεὼν εὐδαιμονίας γνώμην ποιεῖσθαι, ἣν ὑπηρετουμένην τὰ πολλὰ τοῖς πονηροῖς βλέπουσιν. Ἐν ᾧ κἀκεῖνο οἰκονομεῖσθαι πιστεύω, ὡς ἔστιν ἴσως φύσις τινὸς ἄτοπος καὶ εὐόλισθος, ὡς πρὸς πονηρίαν αὐτὸν μάλιστα δύνασθαι παραθήγεσθαι τῇ τῶν οἴκοι ἐνδείᾳ· τοῦ δὴ τοιούτου τὴν νόσον ἡ πρόνοια φαρμάκῳ χρημάτων χορηγουμένων ἰᾶται. Ἄλλος οὐκ εὐαγῆ τοῖς πάθεσιν αἰσθανόμενος τὴν συνείδησιν, καὶ ἑαυτὸν τῇ σφετέρᾳ τύχῃ παρατιθείς, ἴσως μετέωρος γίνεται καὶ περίφοβος, μή ποτε ὧν δι' ἡδονῆς ἐστὶν ἡ χρῆσις αὐτῷ ἀποθύμιος ἡ ἀποβολὴ γένοιτο. Μεταῤῥυθμίσει τοίνυν οὕτος τὰ ἤθη· τῷ γὰρ ἐγκαθήμενον τῇ ψυχῇ φόβον ἔχειν τὴν παροῦσαν ἀποκτήσασθαι τύχην τὴν κακίαν ἀρνεῖται. Ἑτέρους εἰς ὀφειλομένην καταῤῥάττει ταλαιπωρίαν ἥ γε ἀναξίως αὐτοῖς ἐπενεχθεῖσα εὐημερία. Εἰσὶν οἷς ἐπετράπη τοῦ κολάζειν ἡ ἐξουσία, ὅπως τοῖς μὲν σπουδαίοις γυμνασίου, τοῖς δὲ φαύλοις τιμωριῶν αἴτιοι γίγνοιντο. Καὶ γάρ, ὥσπερ οὐκ ἔστιν οὐδεμία τοῖς χρηστοῖς καὶ πονηροῖς ἐκεχειρία, κατὰ ταὐτὰ δὴ καὶ οἱ πονηροὶ σπονδὰς πρὸς ἀλλήλους τίθεσθαι τῷ πονηροὶ εἶναι ἀπείργονται. Τί δὲ οὐ μέλλουσιν, ὁπότε καὶ ἕκαστος αὐτῶν ἀσυμβάτως πρὸς ἑαυτὸν ἔχει, τὴν συνείδησιν τῶν παθῶν διασπαραττόντων, πράττουσί τε πολλάκις ἃ μετὰ τὸ τελεσιουργῆσαι οὐ καλὸν εἶναι γεγονέναι κατὰ νοῦν κρίνουσιν; Ἐξ οὗ πολλάκις ἡ ὑπερανῳκισμένη πρόνοια καὶ ἐπίσημόν τι προήνεγκε τέρας, ὅτι τοὺς πονηροὺς οἱ πονηροὶ χρηστοὺς ἀπεργάζονται. Καὶ γὰρ ἄδικά τινες ὑπομένειν παρὰ τῶν ἀθέσμων τε καὶ βιαίων ἑαυτοῖς δόξαντες, καὶ μίσει τῷ πρὸς τὰ βλαβερὰ διαθερμανθέντες, πρὸς τὴν τῆς ἀρετῆς ἐπανέδραμον κτῆσιν, πᾶσαν καταβαλλόμενοι σπουδὴν ἀνόμοιοι τοῖς μισουμένοις γενέσθαι. Μόνη γάρ ἐστιν ἡ θεία δύναμις, ᾗ καὶ τὰ κακὰ ἀγαθὰ γίγνεται· οἷς ὅτε χρῆται, ἀγαθοῦ τινὸς πάντως ἔκβασιν διανύει. Τάξις γάρ τις ἕκαστα τῶν ὄντων περιλαμβάνει, ὡς εἴ τι τάξεως ἀπεστάτησεν ἧς ἀποδεδειγμένος ὁ λόγος ἐστί, τοῦτο, εἰ καὶ πρὸς ἑτέραν, ὅμως

[πρὸς] τάξιν μεθίσταται [1]), τοῦ μὴ ἐξεῖναι μηδὲν ἐν τῇ τῆς προνοίας ἡγεμονίᾳ τῇ ἀταξίᾳ. Ἀ ρ γ α λ έ ο ν δ έ μ ε τ α ῦ τ α θ ε ὸ ν ὣ ς π ά ν τ' ἀ γ ο ρ ε ύ ε ι ν [2]). Οὐδὲ γὰρ ἑνὸν ἀνθρώπῳ πάσας τὰς τῆς θείας ἐνεργείας μεθόδους ἢ διανοίᾳ περιλαβεῖν ἢ λόγῳ φράσαντα ἑρμηνεῦσαι. Τουτὶ δὲ μόνον θεωρήσασιν ἅλις ἂν ἔχοι, ὡς ὁ τῶν φύσεων ὅσαι εἰσὶ παραγωγεὺς θεὸς, αὐτὸς πρὸς τἀγαθὸν ἰθύνων πάντα διαχειρίζει· καὶ τὰ ὑπ' αὐτοῦ προαχθέντα ἐν τῇ ἰδίᾳ ὁμοιότητι συντηρεῖν ἔργον τιθέμενος ἐκτενὲς, κακὸν ἅπαν ἐκ τῶν ὁρίων τῶν αὐτοῦ δημοσίων πραγμάτων ἐξαίρει τῇ ἐκ τῆς ἀνάγκης τῆς εἱμαρμένης τάξει. Τὸ δ' ἐντεῦθεν, πολλῆς περιουσίας ἐν τῇ γῇ τῶν κακῶν εἶναι πιστευομένης, εἰ πρὸς διοικοῦσαν τὴν πρόνοιαν ἀποβλέπειν ἐξείη, οὐδεὶς οὐδὲν οὐδαμοῦ κακόν τι αἰσθήσεται. Ἀλλ' ὁρῶ σε πάλαι τῷ βάρει τῆς ζητήσεως πιεζόμενον ᾠδῆς τινὰ τέρψιν ἐκδέχεσθαι· δέδεξο τοιγαροῦν τόδε τὸ πόμα, ᾧ σαυτὸν ἀναλαβὼν ἐπὶ τὰ περαιτέρω συντείναις.

Ἢν ἐθέλῃς νόμον ὑψιβρεμέτου
εὖ μάλα καθαραῖς φρεσὶ παπταίνειν,
βλέψον ἐς ἄκρην κορυφὴν οὐρανοῦ·
κεῖθι γὰρ ἐσθλῇ δὴ φιλότητι
ὠγυγίην σέβει ἄστρα γαλήνην·
οὔτ' ἠέλιος γὰρ μαλερῷ πυρὶ
ψυχρὸν μήνης κύκλον ἀνείργει,
οὔθ' ἥ γ' ἐν ἄκρῃ κορυφῇ κόσμου
ἄρκτος ἑλίσσει λαιψηρὸν δρόμον,
οὔποτε δύσιος λουσαμένη ῥόῳ,
ὁρόωσα δύσεις ἄστρων ἑτέρων,
φλόγας ὠκεανῷ σβέσσαι [3]) ὀρεχθεῖ·
ἴσαις δὲ χρόνων αἰὲν ἀμοιβαῖς
ἀγγέλλει κνέφας ἔννυχον ἕσπερος,
ἠῶ τε φέρει δῖαν ἑῷος·
ὧς ἀενάους [4]) ἀτραποὺς συνέχει
ἐπαμοιβαῖος ἔρως, ὧς χάρμη
ἄστρων χώρης ἐναπῴκισται.
Ἥδ' ὁμοφροσύνη κίρνησιν ἴσοις
στοιχεῖα μέτροις, ὡς μαχόμενα δὴ
ἄλληλα φιλῇ καὶ ξερὰ διεροῖς
σπένδωνται καὶ ψυχροῖς πῦρ φλέγον,

---

[1]) MSC. μεθίστασθαι. Pour le sens j'ai ajouté πρὸς, comme Obbarius *in* dans le texte latin. [2]) Hom. Il. XII, 176. [3]) σβέσαι. [4]) ἀεννάους.

πῦρ τε μετήορον ἀναείρηται,
βρίθουσα δὲ χθὼν νέρθεν ὑφιζάνῃ.
Τῇδε μὲν αἰτίῃ εὐκραὲς ἀμφ' ἔαρ
λειριόεν τ' [1]) ἔτος εὔοδμα πνέει,
καὶ φλογερὸν θέρος αὐαίνει στάχυν,
νοστεῖ τ' αὖ εὔκαρπος ὀπώρη,
χεῖμά τ' [2]) ἀγάῤῥοος ὑετὸς κλύζει.
Σύμβασις ἥδε προάγει καὶ τρέφει
σύμπαν ἔμπνοον ἀμφὶ τὸ πᾶν τόδε·
αὖθις δὲ κρύπτει καὶ μαυροῖ τάδε,
πυμάτῃ κηρὶ βύουσα φανέντα.
Ἔνθεν θακέει κτίστης ὕψιος [3])
πάντων ἡνία νωμῶν στροφάδην [4]),
βασιλεύς, κύριος, ἀρχή, πηγή,
νόμος ἠδὲ σοφὸς θέμιδος κριτής,
ὃς ἃ κινῶν ἀφίησι φέρεσθαι,
ἵστησ' ἀνθέλκων, ἐπέχων πλάνην·
εἰ μὴ γὰρ σχέθε τῶνδ' ἰθὺν δρόμον,
αὖθι μετάτροπον εἰς ἕλικ' ἄγχων,
ἃ σταθερὴ νῦν τάξις συνέχει,
ἀρχῆς μουνωθέντ' ἀπόλοιτο ἄν.
Οὗτος ξυνὸς πᾶσιν ἔρως πέλει,
ζητοῦσι κρατεῖσθ' ὁρίοις ἀγαθοῦ·
οὐδὲ γὰρ ἄλλως ἴσχουσι μένειν,
εἰ μὴ ὑποτρόπῳ αὖθις ἔρωτι
ἐπανήκοιεν δῆτα πρὸς αἰτίην,
ἣ πόρε τὸ εἶναι [5]).

Ἤδη τοίνυν ὁρᾷς ὅ τι ποτὲ τούτοις πᾶσιν οἷς εἴπομεν ἕπεται; Τί ποτε, εἶπον; Πᾶσαν, ἦ δ' ὅς, τύχην ἀγαθὴν ἐς τὸ ἅπαξ καθεστηκέναι. Τί δὲ τὸ ἐντεῦθεν, ἦν δ' ἐγώ, ἔσται; Πρόσχες τὸν νοῦν, εἶπεν. Ἐπεὶ πᾶσα τύχη, εἴτε καθ' ἡδονὴν οὖσα εἴτε καὶ τραχυτέρα, τὸ μέν τι πρὸς ἔπαθλον ἢ γυμνασίαν τῶν ἀγαθῶν, τὸ δέ τι πρὸς τιμωρίαν ἢ διόρθωσιν τῶν πονηρῶν ἐπιφέρεται, πᾶσα ἀγαθή, ἣν ἤτοι δικαίαν ἢ ὠφέλιμον συμβέβηκεν εἶναι. Ἀληθής, ἔφην, ὁ λόγος ὡς ἔνι μάλιστα, κἂν πρὸς ἣν μικρῷ πρόσθεν ἐδίδαξας πρόνοιάν τε καὶ εἱμαρμένην κατανοήσαιμι, ἀῤῥήκτοις ὀχυρώμασι τῆςδε τῆς γνώμης ἠσφάλισται. Ἀλλὰ καὶ ταύτην, εἰ δοκεῖ,

---

[1]) MSC. λειριόεντ'. [2]) χεῖματ'. [3]) Forme nouvelle pour ὑψηλός. Weber propose ὕπτιος. [4]) Mot nouveau, qui paraît provenir de l'homérique ἐπιστροφάδην. [5]) Ce dernier vers manque dans l'édition de Weber.

τὴν γνώμην συνάμα [1]) ταῖς ἄλλαις, ἃς ὑπερφυῶς ὡς οὐκ ἄν τις ᾠήθη μικρῷ πρόσθεν κατέταξας, ἀπηριθμησάμεθα. Τί δ᾽ ἐστὶν, εἶπεν; Ὅτι τοῦτ᾽, ἔφην, ἡ κοινὴ τῶν ἀνθρώπων διάληψις προπετῶς οἴεται καὶ συνεχέστατα τὴν τινῶν τύχην πονηρὰν εἶναι. Βούλει τοιγαροῦν, ἦ δ᾽ ὅς, τοῖς τῶν πολλῶν λόγοις συγκαθῶμεν ἡμᾶς αὐτοὺς, τοῦ μὴ σφόδρα δοκεῖν δήπου τῶν τῆς ἀνθρωπότητος ἐθῶν ἀνακεχωρηκέναι; Ὡς δοκεῖ, ἦν δ᾽ ἐγὼ, ποίει. Οὐκ ἄρα τοίνυν ἀγαθὸν ὅπερ ὠφελεῖ κρίνεις; Πάνυ γε. Ἡ δ᾽ [2]) ἤτοι γυμνάζουσα ἢ διορθουμένη τύχη λυσιτελεῖ; Φημὶ γάρ. Ἀγαθὴ τοίνυν; Τί δ᾽ οὔ; Ἀλλ᾽ αὕτη ἐκείνων ἐστὶ τῶν ἢ τῇ ἀρετῇ ἀνακειμένων καὶ τοῖς δυσχερέσιν ἀνθισταμένων, ἢ τῶν ἀπὸ κακίας ἐπιστρεφόντων καὶ τὴν ἀρετῆς ὁδὸν ἐκ μεταβολῆς ὁδευόντων. Ἀπαρνεῖσθαι, εἶπον, οὐκ ἔνι. Τί δ᾽ ἡ καθ᾽ ἡδονὴν, ἥπερ εἰς γέρας τοῖς ἀγαθοῖς δίδοται, μῶν ταύτην ὁ πολὺς λεὼς κακὴν ἀποφαίνονται; Οὐκ ἔστιν ὅτε, ἀρίστην δ᾽, ὅπερ ἐστὶ, γνώμην εἰσάγουσιν εἶναι. Τί δὲ θατέραν, ἥ γε πρὸς τῷ τραχυτέρα πεφυκέναι, καὶ δικαία τιμωρία τοῖς πονηροῖς ἐμποδὼν ἵσταται, μή τι που ἀγαθὴν ὁ πολὺς ὄχλος δοξάζει; Πάνυ μὲν οὖν πάντων, ἦν δ᾽ ἐγὼ, τῶν ὅσα πρὸς ἔννοιαν ἀναβῆναι δύναται ἀθλιωτάτην ψηφίζεται. Ἄθρει τοιγαροῦν, ἦ δ᾽ ὅς, μὴ τῇ τῶν πολλῶν ὑπολήψει ἐκ ποδὸς ἀκολουθήσαντες, ὅτι μάλιστα παρὰ δόξαν τι συμπεράνωμεν. Τί ποτέ ἐστιν, ἦν δ᾽ ἐγώ; Ἐκ γὰρ τῶν συγκεχωρημένων, ἦ δ᾽ ὅς, καὶ δεδομένων ἀπαντᾷ τὸ τὴν μὲν τύχην τῶν ἢ ἐν κτήσει ἢ ἐπιδόσει ἢ εἰσποιήσει τῆς ἀρετῆς ὄντων πᾶσαν, εἴ τις ποτέ ἐστιν, ἀγαθὴν εἶναι, τοῖς δὲ διαρκεῖ μοχθηρίᾳ συζῶσι πᾶσαν κακίστην ὑπάρχειν. Ἀληθές, ἦν δ᾽ ἐγὼ, τουτοῖ, εἰ καὶ μηδεὶς ἄλλος ὁμολογῆσαι τολμήσει. Ἀμέλει, φησὶν, ἥκιστα χρὴ τὸν σοφὸν ἄνδρα βαρέως ἔχειν, ὁσάκις πρὸς τὸν τῆς τύχης ἀγῶνα προσάγεται. Οἷά που καὶ τὸν ἀνδρείας ἀντιποιούμενον οὐκ εἰκὸς δυσχεραίνειν, ὁσάκις πολεμικὸς ἐπηχήσειε θόρυβος· ἑκατέροις γὰρ ὕλη τῷ μὲν τοῦ προβιβάσαι τὴν δόξαν, τῷ δὲ τοῦ τὴν σοφίαν χαρακτηρίσαι αὐτὸ τὸ τῆς δυσκολίας τῶν πραγμάτων καθίσταται. Ἐκ τούτου γὰρ καὶ ἀρετὴ λέγεται, ὡς ἑαυτὴν αἴρουσα καὶ ὑψοῦσα καὶ ταῖς οἰκείαις

---

[1]) MSC. σὺν ἅμα. [2]) ἥδ᾽.

χρωμένη δυνάμεσι τοῦ μὴ πλεονεκτηθῆναι τοῖς ἐναντίοις. Οὐδὲ γὰρ ὑμεῖς οἱ πρὸς ἀρετῆς ἐπίδοσιν ὡρμημένοι, διαῤῥέοντες εἶναι τῇ τρυφῇ καὶ παρεῖσθαι ταῖς ἡδοναῖς ἐληλύθατε· μάχην ἐκτόπως δριμεῖαν κατὰ πάσης ἀναδέξασθε τύχης, ὡς ἂν μήτε ἡ ἐπώδυνος ὑμᾶς κατακάμπτῃ, μήθ' ἡ εὐθυμοτέρα διεφθαρμένους ἐργάζηται· εὐτονώτατα τοῦ μέσου ἀντιλαμβάνεσθε. Ὅ τι περ ἢ ἐπὶ τάδε τῆς μεσότητος ὑποστέλλεται ἢ ἐπέκεινα πρόεισιν, ὀλιγωρίαν εὐδαιμονίας, οὐ γέρας ἔχει τῶν πόνων. Ἐν τῇ ὑμετέρᾳ καὶ γὰρ χειρὶ κεῖται, ὁποίαν ὑμῖν αὐτοῖς βούλεσθε τὴν τύχην μεταῤῥυθμίζειν. Ὅτι καὶ πᾶσα τύχη τραχυτέρα δοκοῦσα, εἰ μὴ ἤτοι γυμνάζει ἢ διορθοῦται, κολάζει.

Φύλοπιν δὶς πέντ' ἐτέεσσ' ἀνύσας,
ἀρχὸς Ἀτρείδης Φρυγίην καθεῖλεν [1]),
ξυγγόνῳ κοίτην δ' ἀνέσωσεν αὖθις.
Οὗτος ἦμος λαίφεα νανσὶ δοῦναι
ὦρτο, πνοὰς ἱλάσσατο δῆτα λύθρῳ,
οὐδὲ γεννήτωρ ἔτ' ἔην, δέρην δὲ
λυπρὸς ἀρητὴρ σφαγίασσε κούρης.
Κλαῦσε ῥαισθέντων ἑτάρων Ὀδυσσεὺς,
τοὺς μυχὸν πέτρης ἀγέλαστος οἰκῶν
κρύψεν ἀπλήστῳ Πολύφημος ἤτρῳ·
ἀλλὰ πηρώσας βλοσυρωπὸν ὦπα,
πολύδακρυν χάρματι λῦσε θρῆνον.
Ἡρακλέην σκληροὶ κλέϊσαν ἀγῶνες,
ὅς γε Κενταύρων δάμασε φρόνημα,
εἷλε θηρὸς σμερδαλέου [2]) λεοντῆν,
εὐστόχοις ὄρνιθας ἔπεφν' ὀϊστοῖς,
μῆλα φρουρῆς ἥρπασεν ἐκ δράκοντος,
χεῖρα χρυσῷ λαιοτέρην βαρυνθεὶς,
Κέρβερον δ' εἷλξε τριπλόκοισι σειραῖς·
ᾄδεται καὶ διφρελάτην προθεῖναι
βρῶμα δασπλῆσι [3]) σφετέρησιν ἵπποις·
φαρμάκου καυθέντος ἀπώλεθ' ὕδρα·
ταυρέην βλαφθεὶς Ἀχελῷος [4]) ὄψιν,
ὦσεν ἐν γρώνῃσι πρόσωπον αἰδοῖ·
οὖδισ' Ἀνταῖον Λιβυκαῖς ἐν ἄμμοις·
Κᾶκος [5]) Εὐάνδροιο χόλον κόρεσσεν·
ὃν δ' Ὄλυμπος μακρὸς ἔμελλε θλίψειν [6])

---

1) MSC. καθεῖλες. 2) σμαρδαλέου. 3) δασπλῆσι. 4) Ἀχελῶος. 5) Κακός. 6) θλίψιν. Corr. de Weber.

ὦμον, ἀφρῷ κάπρος ἐκηλίδωσεν·
τέρμα μόχθων οὐρανὸν ἀκλονήτοις
ὤχμασε νώτοισι, γέρας δὲ λοῖσθον
ὑστάτου μόχθου τετύχηκ' Ὀλύμπου.
Σπεύδετ' ἀνδρεῖοι, ᾗ παράδειγμα τουτὶ
σφὼ ὁδηγεῖ· τίπτε διδοῦτε νῶτα
αἰὲν ὄκνῳ; γῆς ὁ καταφρονήσας
    ἔμμορεν ἄστρων.

# ΒΙΒΛΙΟΝ Ε.

Οὕτως εἶπε, καὶ τὴν τοῦ λόγου ῥύμην πρὸς ἕτερ' ἄττα μετέστρεφεν, ἐφῷ περιεργάσασθαι καὶ σαφήνειαν αὐτοῖς παρασχεῖν. Ἐγὼ δέ· Ἀληθὴς μέν, ἔφην, ἡ διδασκαλία καὶ τῆς σῆς ἐκ τοῦ παντελοῦς ἀξιωτάτη μεγαλειότητος· ἀλλ' ὃ σὺ καὶ πάνυ πρὸ βραχέος περὶ τοῦ τῆς προνοίας θεωρήματος ἔφησθα πολλοῖς καὶ ἄλλοις συμπεπλέχθαι, ἐρευνῶ τε καὶ ἀνιχνεύω. Ἐρωτῶ γοῦν· Ἆρ' ἔστι τι αὐτόματον, καὶ τί τοῦτο ὑπολαμβάνεις; Κἀκείνη· Τῆς ἐπαγγελίας ἐπείγομαί, φησι, τὸ χρέος ἀφοσιώσασθαι καὶ τὴν ὁδὸν ἀνοῖξαι, δι' ἧς ἀναχθήσῃ πρὸς τὴν πατρίδα. Ταῦτα δὲ εἰ καὶ ταμάλιστα ὠφελείας γέμει πρὸς γνῶσιν ἥκοντα, ὅμως τοῦ δρόμου τῆς ἡμῶν προθέσεως ἐκτέτραπται. Εὐλαβεῖσθαι οὖν χρὴ, μή ποτε ταῖς ἀνοδίαις ἀπειρηκὼς πρὸς τὸ τὴν εὐθεῖαν διελάσαι ὁδὸν οὐκ ἂν δυνηθῇς διαρκέσαι. Καὶ μὴν οὐκ ἐχρῆν, ἦν δ' ἐγὼ, τὸ σύνολον εὐλαβεῖσθαι· καὶ γὰρ ἐν ἀναπαύσεως ἔσται μοι μέρει ταῦτα μαθεῖν, οἷς μάλιστα χαίρω. Ἅμα δὲ καὶ παντὸς, ὅπερ ἡ διέξοδος τῆς ἡμετέρας [1]) δίδωσι διαλέξεως ἀδιστάκτῳ διεσκευασμένου τῇ πίστει, οὐκ ἐνδοιάζεταί μοι περὶ τῶν ἑπομένων οὐδέν.

---

[1]) MSC. ὑμετέρας.

Ἡ δέ· Διατριβήν, εἶπεν, ἐπάξω σοι· καὶ ἅμα τοιαῦτα ἐπήντλει. Εἰ μὲν ὁρίζεταί τις, φησί, τὸ αὐτόματον σύμπτωμα πλημμελοῦς κινήσεως εἶναι κἀκ μηδεμιᾶς συνδρομῆς αἰτιῶν προενεχθέν, οὐδέν τὸ παράπαν ἔγωγε ταὐτόματον εἶναι διϊσχυρίζομαι, οὐδέν τε ὑποκείμενον πρᾶγμα σημαίνουσαν, κενὴν δὲ ἐξ ἅπαντος τρόπου διαγινώσκω φωνήν. Ποῖός τις γάρ ποτε, τοῦ θεοῦ συνελαύνοντος πάντα πρὸς τάξιν, τόπος εἶναι λοιπὸς τῇ ἀταξίᾳ δυνήσεται; Τὸ γὰρ μηδὲν ἐκ μηδενὸς συνεστάναι [1]) ἀληθής γε ἐστὶν ἀπόφασις, ἥπερ οὐδεὶς οὐδέποτε τῶν παλαιτέρων ἀντεμαρτύρησεν· εἰ καὶ μὴ περὶ προκαταρκτικῆς ἐνεργείας ἐκεῖνοι τοῦτο, περὶ δὲ ὕλης ἔφασαν ὑποκειμένης, ὃ καὶ περὶ πάσης ὑποθέσεως λόγων θεμέλιόν τινα, ὡς εἰπεῖν, κατεβάλλοντο. Εἰ μὲν δὴ [2]) ἐκ μηδαμῇ μηδαμοῦ ὑπαρχουσῶν αἰτιῶν γίνεταί τι, ἐκ μηδενὸς τὸ αὐτόματον δόξει προενηνέχθαι· εἰ δὲ τοῦτο ἀμήχανον ὑποστῆναι, οὐδὲ τὸ αὐτόματον τοιουτότροπον πεφυκέναι οἷόν τε ἐστίν, ὁποῖον ὀλίγον ἔμπροσθεν διωρισάμεθα. Τί τοίνυν, ἦν δ' ἐγώ, ἔσται; Οὐδὲν τῷ ὄντι ἐστίν, ὅπερ ἤτοι αὐτόματον ἢ τυχηρὸν ἐκ τοῦ κατὰ λόγον ἔχει προσαγορεύεσθαι; ἢ ἔστι τι τοὺς πολλοὺς λανθάνον [3]) ἴσως, ᾧ [4]) ταυτὶ τὰ ὀνόματα ἐφαρμόσει; Ἀριστοτέλης ὁ ἐμός, ἦ δ' ὅς, ἐν τοῖς Φυσικοῖς [5]) τοῦτο καὶ ἀληθείας ἔγγιστα καὶ συντετμημένῳ διωρίσατο λόγῳ. Τίνα τρόπον, ἔφην; Ὁσάκις, εἶπεν, ἐνεργεῖταί τι οὑτινοσοῦν ἕνεκα πράγματος, ἕτερον δέ τι ἀπό τινων αἰτιῶν παρὰ τὸ προκείμενον περιπίπτει, αὐτόματον ὀνομάζεται. Ὡς εἴ τις χάριν τοῦ τὸν ἀγρὸν ἐξεργάσασθαι τὴν γῆν σκάπτων κατορωρυγμένῳ χρυσίου θησαυρῷ περιτύχοι· τοῦτο τοιγαροῦν ἐκ τύχης μὲν συμβεβηκέναι πιστεύεται, ἀλλ' οὐκ ἐκ μηδενός ἐστιν, ἔχει καὶ γὰρ οἰκείας αἰτίας, ὧν ἡ ἀπροόρατος καὶ ἀπροσδόκητος συνδρομὴ τὸ αὐτόματον ἐνηργηκέναι δοκεῖ. Εἰ μὴ γὰρ ὁ τοῦ ἀγροῦ ἐπιμελούμενος τὴν γῆν ὤρυττεν, εἰ μὴ ἐν τῷδε τοῦ τόπου τὸν αὐτοῦ [6]) θησαυρὸν ὁ παρακαταθέμενος κατέχωσε, τὸ χρυσίον οὐκ ἂν εὑρέθη. Αὗται τοίνυν εἰσὶ τῆς τυχηρᾶς περιπετείας [7]) αἰτίαι, ὅτε τι ἐκ συναντήσεως καὶ συνελεύσεως αἰτιῶν, οὐκ ἐκ τῆς τοῦ ποιοῦντος προ-

---

[1]) MSC. συνεστᾶναι. [2]) δέη. [3]) λανθάνων. [4]) ὁ. [5]) Arist. Phys. II, 4. [6]) αὐτοῦ. [7]) περιπεττείας.

θέσεως πρόεισιν. Οὔτε γὰρ ἢ ὁ τὸ χρυσίον κατορύξας ἢ ὁ φιλοκαλῶν τὸν ἀγρὸν ὥστε τὸν θησαυρὸν εὑρεθῆναι ἐσκέψατο· ἀλλ', ὡς ἔφην, οὗ ἐκεῖνος κατέχωσε, τοῦτον διορύξαι συνέδραμε. Λείπεται τοιγαροῦν ὁρίσασθαι τὸ αὐτόματον ἀπροσδόκητον ἐκ συντρεχουσῶν αἰτιῶν ἐν τοῖς δι' ἕτερον γινομένοις σύμπτωμα. Συνέρχεσθαι δὲ καὶ συῤῥεῖν τὰς αἰτίας ἡ τάξις ἐκείνη ποιεῖ ἡ ἐξ ἀφύκτου ἁρμονίας προερχομένη, ἥτις ἐκ τῆς πηγῆς τῆς προνοίας κατιοῦσα τὰ πάντα τοῖς οἰκείοις αὐτῶν τόποις τε καὶ χρόνοις οἰκονομεῖ.

Ἐν σκοπέλοισιν Ἀχαιμενιδῶν [1]), ὅθι τοξότα φεύγων
  ἐξόπιθεν βάλλει στέρνον ἐφεσπομένου [2]),
Τίγρις ἰδ' Εὐφράτης τε μιῆς πηγῆς προϊόντες
  σχίζετον ἀλλήλων μέρμερον αἶψα ῥόον.
Ἀλλ' εἰ καὶ συμβάλλετον αὖ προχοὰς συνενοῦντες,
  συῤῥείει δ' ἃ φέρει τῶν ῥύσις ἀμφοτέρων.
Καὶ νέες εἰς ἓν ἴασι, πεσόντα τε δένδρεα ῥείθροις,
  πολλὰ δ' ὕδωρ ἀναμὶξ ὡς ἔτυχεν φορέει.
Ἔμπης ὅσσα διαμφὶς ἔτ' ὄντεσι τοῖςδε τελεῖται,
  ἤρτηται πηγῆς ᾗ [3]) ῥόθια προχέει.
Οὕτως ἡ λεπάδνοις ἀνέτοις δοκέει παραπαίειν,
  φιμοῦται τύχη, τάξεϊ νεισομένη [4]).

Συνίημι, ἔφην, καὶ τοῦτο οὕτως ὡς σὺ φῂς ἔχειν συντίθεμαι. Ἀλλ' ἐν τῇδε τῇ τῶν αἰτιῶν τάξει, αἵ γε ἀλλήλων ἔχονται, πότερόν ἐστί τις αὐτονομία τῆς ἡμῶν προαιρέσεως, ἢ καὶ ταύτας δὴ τὰς τῶν ἀνθρωπίνων κινήσεις λογισμῶν ὁ τῆς εἱμαρμένης δεσμὸς χαλινοῖ; Ἔστιν, ἦ δ' ὅς· οὐδὲ γὰρ ἂν εἴη τις λογικὴ φύσις, ᾗ μὴ μετὸν τοῦ τῆς προαιρέσεως ἐλευθέρου. Τὸ γὰρ ἐκ φύσεως λόγῳ χρῆσθαι δυνάμενον εὐπορεῖ κριτηρίου, ὡς ἂν ἕκαστα διακρίνοι· δι' ἑαυτοῦ τοίνυν τά τε φευκτέα καὶ τὰ εὐκταῖα διαγινώσκει. Ὃ δέ τις εὐκταῖον κρίνει, τούτου δὴ καὶ εἰς ἔφεσιν ἥκει καὶ ζήτησιν· φεύγει δὲ προτροπάδην ὃ φευκτέον ὑποτοπάζει. Ἀμέλει καὶ οἷς ἐστὶ λόγος, τούτοις εὐθὺς καὶ τοῦ θέλειν τε καὶ μὴ θέλειν

[1]) MSC. Αὐχαιμενιδῶν. [2]) ἐφεπομένου Corr. de Weber. [3]) ἧ.
[4]) Passage évidemment altéré; que Weber corrige ainsi: φιμοῦ τεῦχε τύχῃ, τάξει ἀνασσομένη.

ἐλευθερία. Ταύτην μέντοι οὐ προσεῖναι πᾶσιν ἑξῆς ἐπίσης ἰσχυρίζομαι. Ταῖς μὲν γὰρ ὑπερτάταις καὶ θείαις οὐσίαις καὶ ὀξὺ τὸ κριτήριον καὶ ἀδιάφθορος ἡ προαίρεσις καὶ ἀνυστικὴ τῶν ὀρεκτῶν ἐξ ἑτοίμου πάρεστι δύναμις. Τὰς δὲ τῶν ἀνθρώπων ψυχὰς ἐλευθερίας μὲν πλείονος μετέχειν πᾶσα ἀνάγκη, ἑαυτὰς ἐπὶ τῇ θεωρίᾳ τῆς θείας γνώσεως συντηρούσας· ἧττον δὲ πρὸς τὰ σώματα κατολισθαινούσας, καὶ ἔτι μεῖον τοῖς γηΐνοις μέλεσι δεσμουμένας· ἔσχατον δὲ πάντων ἀνδραποδισμὸν ὑπομένειν, ὅτε δὴ τοῖς πάθεσι σφᾶς αὐτὰς ἐκδοῦσαι τοῦ οἰκείου τῷ λόγῳ κτήματος ἀποπίπτουσιν. Ἐπειδὰν γὰρ τάχιστα τοὺς ὀφθαλμοὺς ἐκ τοῦ ἀκροτάτου τῆς ἀληθείας φωτὸς πρὸς τὰ χαμερπέστερά τε καὶ ζοφωδέστερα κλίνωσιν, αὐτίκα μάλα τῇ τῆς ἀγνοίας ὁμίχλῃ καλύπτονται, καὶ συνθολοῦνται βλαβερωτάταις ἐπιθυμίαις, αἷς προσιοῦσαί τε καὶ τὰ αὐτὰ ταύταις φρονοῦσαι, ἣν ἑαυταῖς δουλείαν ἐπήγαγον κραταιοτέραν ἐργάζονται, καὶ εἰσίν, ὡς ἔπος εἰπεῖν, τῇ οἰκείᾳ ἐλευθερίᾳ αἰχμάλωτοι. Τίνα δ' ὅμως εἰσὶν ἃ ὁ ἐξ αἰῶνος πάντα προϊδὼν τῆς προνοίας ὀφθαλμὸς βλέπει, καὶ κατὰ τὴν ἀξίαν ἑκάστου τὰ προωρισμένα διαχειρίζει;

Πάντ' ἐφορᾷν καὶ πάντ' ἐπακούειν
καθαρῷ λαμπρὸν φέγγει Φοῖβον
ὁ γλυκὺς ἐς λόγον ᾖσεν Ὅμηρος,
καίπερ μήτ' οὖν ἔγκατα γαίης,
μήτε θαλάσσης βένθος ἔχοντα
ἀκτῖσιν ἑαῖς αὖ διαπείρειν.
Ἀλλ' οὐχ οὕτω παντὸς ὁ τέκτων·
τῷδε γὰρ ὑψόθε πάντ' ἐφορῶντι
οὐδὲν γῆς πάχος ἀντικάθηται,
οὐδ' ἐπιπροσθεῖ τὸ σκότος ὄρφνης,
τὰ δ' ἐόντ', ἐσσόμενα, πρό τ' ἐόντα
λεύσσει ἐπιβολῇ πάντα μιῇ νόου·
ὄν, ὅτι πάντα οἱ ἔπλετο δῆλα,
ἐτύμως ἕξεις δήλιον [1]) αὐδᾷν.

---

[1]) MSC. ἥλιον. Note de Planude: Κατὰ τὴν Λατίνων διάλεκτον, σῶλ μὲν λέγεται ὁ ἥλιος, σώλους δὲ ὁ μόνος. Εἶχε γοῦν ἐν τῷ λατινικῷ τὸν λόγον οὕτως· Ὃν ἐπιβλέπει τὰ πάντα σώλους, ἤτοι μόνος, ἐτύμως ἕξεις σῶλεμ, ἤτοι ἥλιον, λέγειν. Ἀλλ' ἐπεὶ ἐν τῷ Ἑλληνικῷ οὐ παρηχοῦσι κατὰ τὴν προφορὰν τὸ ἥλιος καὶ μόνος, τὸ δῆλον τῷ ἡλίῳ προσηρμόσαμεν, ἐκ τοῦ τὰ πάντα αὐτῷ δῆλα εἶναι, δήλιος καὶ ἥλιος αὐτὸν φάμενοι, ὅτι καὶ δοκεῖ κατὰ τοὺς Ἕλληνας ὁ Ἀπόλλων ἐν Δήλῳ γεννηθεὶς δήλιος λέγεσθαι.

Κἀγὼ πρὸς ταῦτα· Χαλεπωτέρᾳ, ἔφην, ἰδοὺ πάλιν ἀμφιβολίᾳ συγχέομαι. Καὶ τίς ποτ' ἐστίν, ἧ δ' ὅς, αὕτη; ἤδη γὰρ καὶ συμβάλλω τί σε συγχέει. Πάμπολυ, ἦν δ' ἐγώ, ἀντιστατεῖν τε καὶ διαμάχεσθαι δοκεῖ τὸ προειδέναι τὸν θεὸν πάντα τῷ εἶναί τι ἐφ' ἡμῖν. Εἰ γὰρ πάντα προεπίσταται ὁ θεός, ψευσθῆναι δὲ τῆς προγνώσεως οὐδένα τρόπον οἷός τε ἐστί, γενέσθαι ἀνάγκη ὅπερ ἡ πρόνοια προέγνωκε γενησόμενον. Ἀμέλει δ', εἰ ἀπ' αἰῶνος οὐ μόνας τὰς τῶν ἀνθρώπων πράξεις, ἀλλὰ καὶ τὰ θελήματα δῆτα προέγνω καὶ τὰς βουλάς, οὐδεμία τῆς προαιρέσεως ἔσται ἐλευθερία· οὐδὲ γὰρ ἢ ἄλλο τι ἔργον ἢ ἡτισοῦν συστῆναι δυνήσεται θέλησις, ὅτι μὴ ἣν ἡ ψευσθῆναι μὴ ἔχουσα φύσιν θεία πρόνοια προεσκέψατο. Εἰ μὲν γὰρ ἑτεροίως ἢ ὡς προεγνώσθη μετακλίνεσθαι δύναται, οὐκ ἔτι βεβαία τοῦ μέλλοντος ἡ πρόγνωσις ἔσται, ὑπόληψις δὲ μᾶλλον ἄδηλος, ὃ περὶ θεοῦ δοξάζειν ἀθέμιτον κρίνω. Οὐδὲ γὰρ οὐδ' ἐκεῖνον δοκιμάζω τὸν λόγον, ᾧ τινὶ οἴονται τὸν παρόντα τῆς ἀπορίας δεσμὸν ἱκανοὶ διαλύειν εἶναι. Φασὶ γὰρ οὐ παρὰ τοῦτό τι γενήσεσθαι, διότι τοῦτο ἡ πρόνοια γενησόμενον προεώρακεν, ἀλλ' ἐκ τοῦ ἐναντίου μᾶλλον διότι γενήσεταί τι, τοῦτο τὴν θείαν πρόνοιαν λαθεῖν οὐχ οἷόν τ' ἐγένετο· καὶ τὸν τρόπον τόνδε τὸ ἀναγκαῖον δὴ τοῦτο πρὸς τὴν ἐναντίαν μοῖράν φασι μεθίστασθαι. Οὐδὲ γὰρ ἀνάγκη τὰ προγινωσκόμενα συγκυρῆσαι, ἀλλ' ἀνάγκη τὰ γενησόμενα προεγνῶσθαι [1]· ὥσπερ εἰ περὶ τούτου ἐζητεῖτο ὁπότερον τούτων θατέρου αἴτιον, πότερον ἡ πρόγνωσις τῆς τῶν γενησομένων ἀνάγκης, ἢ ἡ τῶν ἐσομένων ἀνάγκη τῆς προγνώσεως. Ἀλλ' οὐδὲ μὴν οὐδ' ἐκεῖνο ἀποδεῖξαι πειρώμεθα, ὁποτέρως ποτὲ ἡ τάξις ἔχει τῶν αἰτιῶν ἀναγκαίαν εἶναι τὴν ἔκβασιν τῶν προεγνωσμένων, ἀλλ' εἰ ἡ πρόγνωσις τοῖς γενησομένοις πράγμασι τὴν τοῦ γενήσεσθαι ἀνάγκην οὐ δοκεῖ ἐπιφέρειν. Καὶ γὰρ εἰ κάθηταί τις, τὴν τοῦ καθῆσθαι αὐτὸν δόξαν ἀναγκαῖον ἀληθῆ εἶναι· καὶ ἐκ τοῦ ἀντιστρόφου πάλιν εἰ περί τινος ἀληθὴς εἴη δόξα ὡς καθημένου, καθῆσθαι αὐτὸν ἀναγκαῖον. Ἐν ἑκατέρῳ τοιγαροῦν ἀνάγκη πρόσεστιν, ἐν μὲν τῷ τοῦ καθῆσθαι, ἐν δὲ τῷ τῆς ἀληθείας. Ἀλλ' οὐ διὰ τοῦτό τις κάθηται ὅτι περ ἀληθὴς ἐ-

---

[1]) MSC. προέγνωσται.

στιν ἡ δόξα, ἀλλ᾽ αὕτη μᾶλλον ἀληθής ἐστιν ὅτι τινὰ καθῆσθαι διέλαβεν. Οὕτω τοῦ τῆς ἀληθείας αἰτίου ἐκ θατέρου προϊόντος μέρους, ἔνεστιν ὅμως ἐν ἑκατέροις ἀνάγκη κοινή· Τὰ αὐτὰ τοίνυν καὶ προνοίας πέρι καὶ μελλόντων πραγμάτων παρίσταται διαλέγεσθαι. Καὶ γὰρ καὶ εἰ διὰ τοῦτο διότι γενήσονται προγινώσκονται, οὐ διότι προγινώσκονται γίνονται, οὐδὲν μεῖον ὅμως ὑπὸ θεοῦ ἢ τὰ γενησόμενα προγινώσκεσθαι, ἢ τὰ προγινωσκόμενα συμβαίνειν πᾶσα ἀνάγκη ἐστίν· ὃ πρὸς τὸ τὴν ἐλευθερίαν τῆς προαιρέσεως ἀνελεῖν καὶ μόνον ἱκανῶς ἔχει. Ἤδη δὲ πηλίκον ἐστὶν ἐν τούτῳ τὸ ἀνακόλουθον, ὥστε τῆς αἰδίου προγνώσεως τὴν τῶν ἐν χρόνῳ γένεσιν αἰτίαν εἶναι διϊσχυρίζεσθαι; Τί δὲ ἕτερόν ἐστιν οἴεσθαι τούτου γε ἕνεκα τὰ μέλλοντα τὸν θεὸν προειδέναι ὅτι γενήσονται, ἢ τὰ πολλῷ κατόπιν συμβεβηκότα δοξάζειν αἰτίαν εἶναι τῆς ἀκροτάτης ἐκείνης προνοίας; Πρὸς τούτοις, ὥσπερ ὅ τι ἂν ὂν [1]) γινώσκω, τοῦτ᾽ αὐτὸ καὶ ἀνάγκη ἐστὶν εἶναι, οὕτω καὶ ὅτε τι γενησόμενον οἶδα, τοῦτ᾽ αὐτὸ καὶ ἀνάγκη γενήσεσθαι. Ἐκ δὲ τούτου συμβαίνει τὴν ἔκβασιν τοῦ προεγνωσμένου μὴ οἵαν τ᾽ εἶναι παραβαθῆναι. Ἐπὶ πᾶσιν εἴ τι τις ἕτερον τρόπον ἢ ὡς ἔχει τὸ πρᾶγμα εἰκάζει, τοῦτό γε οὐχ οἷον οὐκ ἔστι γνῶσις, ἀλλὰ ἐσφαλμένη ὑπόνοια τοῦ τῆς γνώσεως ἀληθοῦς ὡς πορρωτάτω [2]) διηρτημένη. Ἀμέλει καὶ εἴ τι ποτὲ οὕτω μέλλον ἐστίν, ὡς μὴ ὁμολογουμένην καὶ ἀναγκαίαν εἶναι τὴν αὐτοῦ ἔκβασιν, τοῦτο γενησόμενον προειδέναι τίς ἕξει; Ὡς γὰρ ἡ γνῶσις αὐτὴ ἀμιγής ἐστι τῷ ψεύδει, οὕτω τὸ ὑπὸ ταύτης καταλαμβανόμενον ἄλλως ἔχειν ἢ ὡς κατελήφθη ἀπόρως ἔχει. Καὶ γὰρ αὕτη ἐστὶν αἰτία ἀνθ᾽ ὅτου ποτὲ τοῦ σφάλλεσθαι ἡ γνῶσις χηρεύει, ὅτι περ οὕτω τὸ πρᾶγμα ἔχειν ἀνάγκη καθὰ δὴ καὶ ἡ γνῶσις αὐτὸ ἔχειν καταλαμβάνει. Τί τοίνυν; ποίῳ τρόπῳ ταυτὶ δὴ τὰ ἀμφηρίστως μέλλοντα θεὸς προγινώσκει; Εἰ μὲν γὰρ ἐξ ἅπαντος γενήσεσθαι τρόπου λογίζεται τὰ γενέσθαι καὶ μὴ δυνάμενα, σφάλλεται· ὅπερ οὐ μόνον διανοεῖσθαι ἀθέμιτον, ἔτι δὲ καὶ μᾶλλον καὶ γλώττῃ προφέρειν. Εἰ δ᾽ ὡς εἰσιν, οὕτω ταῦτα καὶ γενησόμενα οἶδεν, ὡς ἐπίσης ἤτοι γενήσεσθαι ταῦτα ἢ μὴ γενήσεσθαι πεφυκότα εἰδέναι, τίς ποτέ ἐστιν ἡ πρόγνωσις αὕτη ἡ μη-

---

[1]) MSC. ὂν. [2]) πορροτάτω.

δὲν βέβαιον, μηδὲν καταλαμβάνουσα στάσιμον; ἢ τίνι διαφέρει τουτὶ τῆς πολὺν ὀφλισκανούσης ἐκείνης γέλωτα τοῦ Τειρεσίου χρησμολογίας, ὅ τι ἂν εἴπω, φαμένου, ἤτοι ἔσται ἢ οὔ [1]); Κατὰ τί δὲ ἡ θεία πρόνοια τὴν ἀνθρωπίνην ὑπερβαλεῖται ὑπόληψιν, εἰ ὡς ἄνθρωποι ἀμφίβολα κρίνοι τὰ ὧν ἡ ἔκβασις ἄδηλος; Ὥστ' οὖν εἰ παρὰ τῇ βεβαιοτάτῃ ἐκείνῃ πάντων τῶν ὄντων πηγῇ οὐδὲν ἄδηλον οἷόν τ' εἶναι, κεκύρωται ἡ τούτων ἔκβασις, ἅ γε ἀναμφιβόλως ἐκείνη μέλλοντα προεσκέψατο. Ἔνθεν τοι καὶ οὐδεμία πρόσεστι ταῖς ἀνθρώπων βουλαῖς τε καὶ ἐνεργείαις αὐτονομία, ἃς ἡ θεία γνῶσις ἡ πόῤῥω τοῦ σφάλλεσθαι καὶ πλανᾶσθαι πάντα προβλέπουσα πρὸς μίαν ἔκβασιν συνδεῖ τε καὶ περισφίγγει. Τούτου δὲ ἅπαξ παραληφθέντος, καθαρώτατον δὴ πηλίκη τις ἡ τῶν ἀνθρωπίνων πραγμάτων ἀναίρεσις ἕπεται. Μάτην καὶ γὰρ τοῖς χρηστοῖς τε καὶ πονηροῖς γέρα καὶ τιμωρίαι πρόκεινται, ὧν οὐδεμία ψυχῆς ἐλευθέρα καὶ κατὰ λόγον αὐθαίρετος ἠξίωται κίνησις. Καὶ πάντων ἀδικώτατον δόξειεν ἂν ὃ τὰ νῦν δικαιότατον κρίνεται, ἤτοι δίκας ὑπέχειν τοὺς πονηροὺς ἢ τοὺς ἀγαθοὺς ἄθλοις τιμᾶσθαι, οὓς πρὸς ἑκάτερον οὐχ ἑκούσιον θέλημα παραπέμπει, ἀλλ' ἡ τοῦ μέλλοντος συνωθεῖ ἐπεσφραγισμένη ἀνάγκη. Καὶ οὔθ' αἱ κακίαι οὔθ' αἱ ἀρεταί τι ἔσονται, πάσης δὲ μᾶλλον ἀμοιβῆς πεφυρμένη καὶ ἄκριτος φανήσεται σύγχυσις. Καὶ οὗ οὐδὲν ἀνοσιώτερον εἰς διαλογισμὸν ἐλθεῖν πέφυκεν, ἐπείπερ ἐκ τῆς προνοίας ἡ πᾶσα τῶν ὄντων τάξις παράγεται, καὶ οὐδὲν ἐπεξουσίας [2]) ἐστὶ ταῖς ἀνθρωπίναις βουλαῖς, συμβήσεται καὶ ταῖς ἡμῶν κακίαις πρὸς τὸν ἀρχηγὸν τῶν ἀγαθῶν πάντων τὴν ἀναφορὰν ἔχειν. Τοιγαροῦν οὔτε ἐλπίδος οὔτ' εὐχῆς ἔσται τις λόγος. Τί γὰρ ἔτ' ἂν ἐλπίσειέ τις ἢ εὔξαιτο, ἔνθα τὰ εὐκταῖα πάντα ἀπαραίτητος τάξις ἁρμόζει; Ἀναιρεθήσεται τοίνυν τὸ μοναδικὸν ἐκεῖνο μεταξὺ θεοῦ καὶ ἀνθρώπων συνάλλαγμα, τοῦ ἐλπίζειν δηλονότι καὶ εὔχεσθαι. Τῷ ὄντι γὰρ τιμήματος ταπεινώσεώς τε καὶ ὑποπτώσεως ὀφειλομένης τὴν ἀνείκαστον ὠνούμεθα τῆς θείας χάριτος ἀμοιβήν· ὃς μόνος ἐστὶ τρόπος δι' οὗ τῷ θεῷ συλλαλεῖν δοκοῦσιν ἄνθρωποι δύνασθαι, καὶ τῷ ἀπροσίτῳ ἐκείνῳ

[1]) Hor. Sat. II, 5, 59. [2]) Mot nouveau, à moins de lire ἐπ' ἐξουσίας, comme dans Eusèbe, Laud. Const. p. 544 B.

φωτί, καὶ πρὶν ἢ τούτου τυχεῖν, αὐτῷ τῷ τῆς ἱκετείας λόγῳ συνάπτεσθαι· ἃ δὴ εἰ, τῆς τῶν μελλόντων ἀνάγκης παραδοχῆς ἀξιωθείσης, οὐδεμίαν ἔχειν πιστευθήσεται δύναμιν, τί ποτε ἔσται δι' οὗ τῷ ἄκρῳ τῶν ὄντων ἀρχηγῷ ἕξομεν συνηνῶσθαι καὶ συνηρμόσθαι; Ἐκ δὴ τούτου ἀνάγκη ἔσται τὸ ἀνθρώπινον φῦλον, ὡς μικρὸν ἔμπροσθεν ᾖδες, διαζευχθέν τε καὶ μονωθὲν τῆς ἰδίας ἀρχῆς ἀπολέσθαι.

Τίς [1]) τῶν ὄντων σπονδὰς διχόνους
αἰτίη ἔτμαγε; τίς τόσσην θεὸς
νητρεκέσιν δυσὶν ἔστησε μάχην,
ὥσθ' ἃ διακριδόν εἰσι καθ' αὐτὰ
μηδ' ὅσον ἐθέλειν ταῦτα συνελθεῖν;
ἢ τὰ μὲν ἀτρεκῆ οὐ στασιάζει,
παγίως δ' ἥνωτ' αἰὲν ἑαυτοῖς,
ψυχὴ δ' εἰς τυφλὰ καταδῦσα ῥέθη,
μαυρωθέντος δ' ὄμματος, ἀπορεῖ
λεπτὰς ἐόντων συμπλοκὰς ἀθρεῖν;
ἀλλὰ τόσῳ πῶς πίμπραται οἴστρῳ
κευθόμενον μάλα τἀληθὲς ἰδεῖν;
πότερ' οἶδεν ὅπερ νοέειν γλίχεται;
ἀλλὰ τίς ἔσσυται ὅπερ οἶδε μαθεῖν;
ἀλλ' οὐκ οἶδε· τί δ' ὃ μὴ οἶδε ποθεῖ;
τίς ἁπάντων ποτὲ τἄγνωστα φιλεῖ;
ἢ τίς δύναται τοῖς ἀκολουθεῖν;
ἢ ποῖ τεύξεται; ἢ τίς ἀγνοέων
εὑρηκὼς ταῦθ' ἕξει γνῶναι;
ἢ ὅτε μὲν νόος οἷος ἔμιμνεν,
ᾔδει τά θ' ὅλα καὶ τἀπὶ μέρους,
νῦν δ' ἔθ' ὁμίχλῃ κρυφθεῖσα χροὸς
οὐ συλλήβδην αὐτῆς λάθετο,
καθόλου δ' ἴσχουσ' ὤλεσε τὰ μέρη;
Ὅστις τοίνυν ζητεῖ τἀτρεκὲς,
οὐδετέρης πέλει ἔξιος· οὔτε γὰρ
οἶδεν ἁπλῶς, οὔτ' ἀγνοέει πάντα,
μνωόμενος δ' ὅπερ κατέχει, καθόλου
ἀναπεμπάζει τάπερ εἶδεν [2]) ἄνω,
προσθεῖναί θ' οἷς μέμνηται τάπερ
ὤλεσε λίπτει.

Κἀκείνη· Παλαιὰ μέν, εἶπεν, αὕτη περὶ προνοίας ἡ ζήτησις,

---

[1]) MSC. ajoute τὰς. [2]) οἶδεν. Texte: *alte visa retractans.*

καὶ Μάρκῳ Τουλλίῳ, ἡνίκα τὰς περὶ μαντικῆς διαιρέσεις ἐποιεῖτο, μεγαλείως πολυπραγμονηθεῖσα, καὶ σοὶ δὲ αὐτῷ ἐκ πάνυ πολλοῦ καὶ περιττότατα ἄνω καὶ κάτω περιεργασθεῖσα, ὑπ᾽ οὐδ᾽ ὁποτέρου δὲ ὑμῶν μέχρι καὶ ἐς δεῦρο ἅλις ἐς ἀκρίβειαν καὶ ἐχυρῶς διασαφηθεῖσα. Τὸ δ᾽ αἴτιόν ἐστι τῆς τοιᾶσδε σκοτώσεως ἡ τῶν ἀνθρωπίνων ῥημάτων κίνησις, ἀδυνατοῦσα πρὸς τὴν ἁπλότητα τῆς θείας προγνώσεως ἐφικέσθαι, ἥτις εἰ κατανοηθῆναι σχοίη, οὐδεμία παντάπασιν ἀμφιβολία περιλειφθήσεται [1]. Ὃ δὴ καὶ ὅσον ἐμφανίσαι καὶ διαλευκᾶναι πειράσομαι, εἰ πρότερον ἐκεῖνα οἷς συγχεῖσθαι φῂς διαλύσομαι. Πυνθάνομαι γὰρ ὅτου δὴ χάριν τὸν τῶν ἐπιλυομένων τὴν τοιαύτην ἀπορίαν λόγον ἧττόν τι ἀνύειν ὑπολαμβάνεις. Ὃς ἐπεὶ τὴν πρόγνωσιν οὐκ εἶναι τοῖς μέλλουσιν αἰτίαν ἀνάγκης δοξάζει, οὐκ ἔστιν ὅπως ἐμποδὼν αὐτὴν καθεστάναι [2] τῷ αὐτεξουσίῳ τῆς γνώμης οἴεται. Μὴ γὰρ ἑτέρωθεν σὺ τὴν ἀπόδειξιν τῆς τῶν μελλόντων ἀνάγκης ἐφέλκῃ, ἀλλ᾽ οὐκ ἐκ τοῦ μὴ δύνασθαι ταῦτα μὴ ἐλθεῖν εἰς ἔκβασιν, διότι προέγνωσται; Εἰ τοίνυν ἡ πρόγνωσις οὐδεμίαν τοῖς μέλλουσιν ἐπιτίθησι τὴν ἀνάγκην, ᾧ καὶ σὺ μικρῷ πρόσθεν συνεμαρτύρησας, τί ποτέ ἐστιν ὑφ᾽ οὗπερ αἱ αὐθαίρετοι τῶν πραγμάτων ἔξοδοι πρὸς ἄτρεπτον συνελαθήσονται ἔκβασιν; Καὶ γὰρ ὑποθέσεως χάριν, ὡς ἂν τί ποτε ἕπεται συννοήσῃς, θῶμεν μηδεμίαν πρόγνωσιν εἶναι. Μὴ τοίνυν ὅσον τὸ ἐπὶ τούτῳ τὰ ἐκ προαιρέσεως ἐρχόμενα πρὸς ἀνάγκην τινὰ συνωθεῖται; Οὐχ ὅσα κἀμὲ εἰδέναι. Θῶμεν αὖθις πρόγνωσιν μὲν εἶναι, μηδεμίαν δὲ τοῖς πράγμασιν ἀνάγκην ἐπάγεσθαι· μενεῖ τοίνυν, ἐμοὶ δοκεῖν, ἡ τῆς προαιρέσεως αὐτεξουσιότης ἀφειμένη καὶ ἀκολόβωτος. Ἀλλ᾽ ἡ πρόγνωσις, ἐρεῖς, εἰ καὶ τὰ μάλιστα μὴ τῆς τῶν μελλόντων ἐκβάσεως εἶναι δοκεῖ ἀνάγκη, σύμβολον ὅμως ἐστὶν ἐξ ἀνάγκης αὐτὰ γενήσεσθαι. Τούτῳ γοῦν τῷ τρόπῳ, καὶ εἰ πρόγνωσις μὴ ἐτύγχανεν οὖσα, ἀναγκαίας τὰς τῶν μελλόντων ἐξόδους εἶναι συνέβαινεν ἄν. Πᾶν γὰρ σημεῖον τὸ σημαινόμενον δείκνυσιν ὅ τι ποτέ ἐστιν, οὐ μὴν ἐνεργεῖ καὶ τοῦθ᾽ ὅπερ τεκμηριοῖ. Ἀμέλει πρότερον ἀποδεικτέον ἐξ ἀνάγκης τι [3] συμβαίνειν, ἵνα δὴ καὶ ἡ πρό-

1) MSC. περιληφθήσεται. Texte: *nihil prorsus relinquetur ambigui.*
2) καθεστᾶναι. 3) τί.

γνωσις σημεῖον εἶναι τῆς ἀνάγκης ταύτης δοκοίη. Εἰ δὲ μὴ, εἴπερ αὕτη μηδέν ἐστιν, οὐδ' ἐκείνη τοῦ μὴ ὄντος πράγματος σημεῖον εἶναι δυνήσεται. Ἤδη δὲ καὶ τὴν ἀπόδειξιν ἑδραίοις λόγοις ὑποστηρίχθαι δέον, καὶ οὐκ ἐκ σημείων οὐδ' ἐκ θηρευομένων ἔξωθεν τεκμηρίων, ἀλλ' ἐκ προσφυῶν καὶ ἀναγκαίων αἰτιῶν συνεστάναι [1]). Ἀλλὰ τί τὸ ἐντεῦθεν; δυνατὸν μὴ προβῆναι ἃ γενησόμενα προγινώσκονται; καίτοι τοῦτο οὐδὲν διενήνοχεν ἢ εἰ καὶ ἡμεῖς, ἅσσα γε ἡ πρόνοια προέγνωκε γενησόμενα, μὴ σχεῖν πιστεύοιμεν ἔκβασιν, ἀλλ' οὐκ ἐκεῖνο μᾶλλον δοξάζοιμεν ὡς, εἰ καὶ γίγνοιντο, μηδεμίαν ὅμως ὥστε γενέσθαι τῇ ἑαυτῶν φύσει ἐσχηκέναι ἀνάγκην· ὃ ῥᾷστα ἂν ἐκ τουτουὶ ἐξέσται σοι συντεκμήρασθαι. Πλεῖστα καὶ γὰρ πρὸ ὀφθαλμῶν ὁρῶμεν γιγνόμενα, οἷά που καὶ ἅπερ ἐν τοῖς ἅρμασι πρὸς τὸ διιθύνειν τε καὶ περικάμπτειν αὐτὰ ποιοῦντες οἱ ἡνίοχοι φαίνονται, καὶ ἕτερα τὸν τρόπον τοῦτον γινόμενα. Μὴ γοῦν ὁτιοῦν ἐκείνων οὕτω γίγνεσθαι ἀνάγκη ἐκβιάζεταί τις; Οὐκ ἔστι· μάτην γὰρ ἂν ἦν ἡ τῆς τέχνης ἐπαγγελία, εἴπερ ἀναγκαίαν εἶχε πάντα τὴν κίνησιν. Ἃ τοίνυν ἐν τῷ γίγνεσθαι ἀφεῖται τῆς τοῦ γίνεσθαι ἀνάγκης, ταυτὶ καὶ πρὶν γενέσθαι ἐκτὸς πάσης ἀνάγκης γενησόμενα ἦν. Ἀμέλει γοῦν εἰσί τινα γενησόμενα, ὧν ἡ ἔκβασις πάσης ἀνάγκης ἐστὶν ἀπολελυμένη. Καὶ γὰρ οὐδ' ἐκεῖνο οἶμαί τινα τῶν ἁπάντων λέξειν, ὡς ἃ νυνὶ γίνεται πρὶν καὶ γενέσθαι γενησόμενα μὴ ὑπάρχειν. Ταῦτα τοίνυν καὶ προεγνωσμένα ἐλευθέραν ἔχει τὴν ἔξοδον. Ὡς γὰρ ἡ γνῶσις τῶν ἐνισταμένων πραγμάτων οὐδ' ὁποίαν ἀνάγκην ἐπάγει τοῖς γιγνομένοις, οὕτως οὐδὲ ἡ πρόγνωσις τῶν μελλόντων τοῖς γενησομένοις. Ἀλλὰ φῄς ὡς αὐτὸ τοῦτο ἀμφισβητεῖται, εἰ ἄρα [2]) τῶν τὴν ἔκβασιν ἀναγκαίαν ἐχόντων δύναιτό τις πρόγνωσις εἶναι· διαφωνεῖν γὰρ ταῦτα δοκεῖ, οἴει τε, εἰ προγιγνώσκονται, καὶ ἀνάγκην εὐθὺς ἕπεσθαι. Ἣν δὲ τὸ τῆς ἀνάγκης ἀπῇ, ἥκιστα προγιγνώσκεσθαι, μηδέν τε τὴν γνῶσιν καταλαμβάνειν ἔχειν ὅ τι μὴ βέβαιον. Ὥστε καὶ εἰ ὧν ἄδηλοι αἱ ἐκβάσεις εἰσί, ταῦτα ὡς ὁμολογούμενα προγινώσκεται, ὑπολήψεως τοῦτ' ἐστὶν ἀδηλίαν εἶναι, οὐκ ἀλήθειαν γνώσεως. Τὸ γὰρ ἑτεροίως ἢ ὡς ἔχει τὸ πρᾶγμα εἰκάζειν ἀσύμφωνον εἶναι πρὸς

---

[1]) MSC. συνεστᾶναι. [2]) ἆρα.

τὸ τῆς γνώσεως αὐτοτελὲς οἴει. Ταυτησὶ δὲ τῆς πλάνης τὸ αἴτιον, ὅτι πάντα ἅ τις γινώσκει ἐκ τῆς αὐτῶν τῶν γιγνωσκομένων δυνάμεως αὐτὸ τοῦτο καὶ φύσεως γιγνώσκειν οἴεται· τὸ δὲ πᾶν τοὐναντίον ἐστί. Πᾶν γὰρ τὸ γινωσκόμενον οὐ κατὰ τὴν ἑαυτοῦ δύναμιν, κατὰ δὲ τὴν τῶν γιγνωσκόντων μᾶλλον εὐπορίαν καταλαμβάνεται. Καὶ γοῦν, ἵνα δὴ τοῦτο βραχεῖ τινὶ παραδείγματι καταφανὲς γένηται, τὴν αὐτὴν τοῦ σώματος περιφέρειαν ἑτέρως μὲν ἡ ὄψις, ἑτέρως δὲ ἡ ἀφὴ διακρίνει. Ἐκείνη μὲν γὰρ ἄποθεν τὸ ὅλον ὁμοῦ συνημμένον ταῖς ἐκπεμπομέναις ἀκτῖσι περιαθρεῖ, αὕτη δὲ πέριξ ἐφαρμοζομένη τῷ σώματι καὶ συνημμένη καὶ περὶ αὐτὸ κινουμένη τοῦ κυκλοτεροῦς αὐτοῦ καὶ περιφεροῦς κατὰ μέρος ἀντιλαμβάνεται. Καὶ αὐτὸν δὲ τὸν ἄνθρωπον ἄλλως μὲν ἡ αἴσθησις, ἄλλως δ' ἡ φαντασία, ἑτέρως ὁ λόγος καὶ ἑτέρως ὁ νοῦς θεωρεῖ. Ἡ μὲν γὰρ αἴσθησις τὸ σχῆμα τὸ ἐν τῇ ὑποκειμένῃ ὕλῃ συνεστηκὸς, ἡ φαντασία δὲ μόνον ἄτερ ὕλης κρίνει τὸ σχῆμα, ὁ δὲ λόγος καὶ τοῦτο ὑπερανέβη, τὸ δὲ εἶδος αὐτὸ τὸ ἐν τοῖς καθ' ἕκαστα ὂν καθολικῇ κατανοήσει σκοπεῖται. Τοῦ γε μὴν νοῦ ὑψηλότερόν ἐστι τὸ ὄμμα· ὑπερβὰς γὰρ οὗτος καὶ τὴν καθόλου περίοδον αὐτὴν ἐκείνην τὴν ἁπλῆν μορφὴν καθαρᾷ διανοίας ὀξύτητι βλέπει. Ἐν ᾧ κἀκεῖνο μάλιστα κατανοεῖν χρή. Ἡ μὲν ἀνωτέρα τῆς τῶν ὄντων ἀντιλήψεως δύναμις περιλαμβάνει τὴν ὑποδεεστέραν, ἡ δ' ὑποδεεστέρα πρὸς ὑψηλοτέραν ἀναπηδῆσαι ἀπόρως ἔχει. Οὔτε γὰρ ἡ αἴσθησις ἐκτὸς τῆς ὕλης τι δύναται ἢ τὰ καθόλου τῶν εἰδῶν ἡ φαντασία σκοπεῖ, οὔθ' ὁ λόγος τοῦ ἁπλοῦ ἐφικνεῖται τύπου [1]· ἀλλ' ὁ νοῦς ἄνωθεν, ὡς εἰπεῖν, ἐποπτεύων τὸν τύπον ὃν διαλαμβάνει καὶ τὰ ὑφ' αὐτὸν διακρίνει πάντα· πλὴν τούτῳ τῷ τρόπῳ ᾧ καὶ τοῦ τύπου αὐτὸς ὃς οὐδενὶ ἑτέρῳ γνωσθῆναι πέφυκεν ἀντιλαμβάνεται. Καὶ γὰρ καὶ τὸ καθόλου τοῦ λόγου καὶ τὸ τῆς φαντασίας σχῆμα καὶ τὸ ἐν ὕλῃ ἀναίσθητον οἶδεν, οὔτε λόγῳ συγχρώμενος οὔτε φαντασίᾳ οὔτε αἰσθήσει, ἀλλὰ μιᾷ προβολῇ τῆς διανοίας μορφωτικῶς, ἵν' οὕτως εἴπω, τὰ πάντα ὀξυδερκεῖ. Ὅ τε μὴν λόγος ἐπισκεπτόμενός τι τῶν καθόλου, οὔτε τῇ φαντασίᾳ οὔτε ταῖς αἰσθήσεσι συγχρώμενος, τῶν φανταστῶν ἀντιλαμβάνεται καὶ αἰσθητῶν. Οὐ-

---

1) MSC. τόπον.

τος γάρ ἐστιν ὁ τὸ καθόλου τῆς ἰδίας διαλήψεως οὕτω διορισάμενος· ἄνθρωπός ἐστι ζῶον δίπουν λογικόν. Ὃς εἰ καὶ καθόλου γνῶσίς ἐστιν, ὅμως καὶ φανταστὸν καὶ αἰσθητὸν οὐδεὶς ἀγνοεῖ τὸ πρᾶγμα τυγχάνον, ὅπερ ἐκεῖνος οὔτε φαντασίᾳ οὔτε αἰσθήσει, ἀλλὰ λογικῇ διαλήψει τὸ πρᾶγμα κατανοεῖ. Καὶ ἡ φαντασία δέ, εἰ καὶ ταμάλιστα ἐξ αἰσθήσεων τῷ ὁρᾶν τε καὶ διατυποῦν τὰ σχήματα τὴν ἀρχὴν ἔσχεν, ὅμως καὶ τῆς αἰσθήσεως ἀπούσης ἕκαστα τῶν αἰσθητῶν ἔπεισιν οὐκ αἰσθητικῷ, ἀλλὰ φανταστικῷ λόγῳ κρίνουσα. Ὁρᾷς τοιγαροῦν ὡς πάντα τὰ γινώσκοντα τῇ ἰδίᾳ μᾶλλον ἢ τῇ τῶν γινωσκομένων εὐπορίᾳ χρῶνται; Καὶ τοῦτο οὐκ ἀπεικότως· πάσης γὰρ κρίσεως, ἐνεργείας ὑπαρχούσης τοῦ κρίνοντος, ἀνάγκη πᾶσα τὴν ἑαυτοῦ ἐνέργειαν πάντα τινὰ οὐκ ἐκ τῆς ἀλλοτρίας, ἀλλ' ἐκ τῆς ἰδίας δυνάμεως εἰς πέρας ἄγειν.

Ἤνεγκεν πάλαι ἡ στοὰ
δεινοὺς ἐν σοφίῃ βροτούς,
οἳ δὴ φαντασίην τε καὶ
αἴσθησιν θύραθ' εἰς νόον
ᾤοντ' ἐκτυπόεσθ' 1) ὁμοῦ,
ὥς που καὶ τροχαλὴ γραφὶς
εἴθισται σελίσιν 2) βίβλου,
ἀγράπτοις ἔτ' ἐόντεσι,
μορφοῦν εὔγλυφα γράμματα.
Ἀλλ' εἰ μηδὲν ἐνεργέει
νοῦς θάλλων σφετέρῳ σθένει,
πάσχειν δ' αὖ μόνον ἔλαχε,
γραμμῶν σώματος ὢν δοχεύς,
καὶ κωφοὺς κατόπτρου τρόπον
ὄντων ἀντανακλᾷ τύπους,
πῶς θάλλουσ' ἐπὶ τὸν νόον
γνῶσις πάντ' ἐπιδέρκεται;
τίς ῥώμη καθέκασθ' ὁρᾷ;
τίς γνωσθέντα διΐστάνει,
χωρισθέντα τε συλλέγει,
διπλῆν τ' ἐσσυμένη τρίβον,
νῦν εἰς ὕψος ἄγει κάρα,
νῦν δ' αὖ ἐστὶ χαμαιπετής,
νῦν αὐτῇ δὲ κυκλουμένη
ψεύδους νητρεκίῃ κρατεῖ;
Ἤδ' ἰσχυροτέρη 3) πέλει

1) MSC. ἐκτυπώεσθ'. Corr de Weber. 2) σελίσι. 3) ἰσχυρωτέρη.

καὶ δραστήριος αἰτίη
τῆς ὕλης τρόπον ἔντυπα
γραμμῶν δεχνυμένη πάθη·
ἡγεῖται δ' ἐρεθίζον οὖν
ἔμπης τὰς δυνάμεις νοὸς
ζῶντ' ἐν σώματι τὸ πάθος,
εὖτ' ἢ φῶς βλέφαρον βαλεῖ,
ἢ ὄψ ὦτα καταιχμάσει·
τῆμος γὰρ νόος ἀνθορὼν [1]),
ἃς ἐντὸς ἰκέλας [2]) ἔχει
κινηθεὶς ἰδέας καλῶν,
τοῖς ἔξωθεν ἄγει τύποις,
οὓς ταῖς κευθομέναις μυχοῖς
μορφαῖς μίγνυσι συλλαβών.

Ὥστ' οὖν εἰ ἐν τοῖς αἰσθανομένοις σώμασιν, εἰ καὶ ταμάλιστα πλήττουσι τὰ τῶν αἰσθήσεων ὄργανα αἱ ἐπιφερόμεναι ποιότητες ἔξωθεν, προηγεῖταί γε τοῦ νοὸς ἐν ἑαυτῷ τὸ ζώπυρον ἔχοντος τὸ τοῦ σώματος πάθος· ὅ γε πρὸς ἑαυτὸ τὴν τῆς διανοίας ἐνέργειαν προκαλεῖται, καὶ διανίστησιν ἔσωθεν τοὺς ἐν τοσούτῳ ἡσυχάζοντας τύπους· εἰ ἐν τοῖς αἰσθανομένοις, ὡς ἔφην, σώμασιν ὁ νοῦς οὐ πάθει τινὶ χαράττεται, ἀλλ' ἐξ οἰκείας δυνάμεως τὸ ὑποκείμενον τῷ σώματι κρίνει πάθος, πόσῳ μᾶλλον τὰ πάσης σωματικῆς σχέσεως ἀφειμένα πρὸς τὸ διακρίνειν ἥκιστα τοῖς ἔξωθεν ἐπαγομένοις ἕπονται, ἀλλὰ τὴν ἐνέργειαν τῆς ἑαυτῶν διανοίας διεξοδεύουσι; Καὶ τοῦτον τὸν λόγον διάφοροι γνώσεις πολλαῖς καὶ διαλλαττούσαις ἐπέπεσον φύσεσι. Μόνη μὲν γὰρ ἡ αἴσθησις πάσας τὰς λοιπὰς περιῃρημένη γνώσεις ὑπὸ τοῖς ἀκινήτοις ἐμψύχοις ἐγένετο, ὁποῖοί ποτε οἱ θαλάσσιοι κόγχοι εἰσὶ καὶ ὅσα ἄλλα ταῖς χοιράσι προσπεφυκότα τρέφεται· ἡ δὲ φαντασία τοῖς κινουμένοις ἀλόγοις ζώοις, οἷς ἤδη προσεῖναί τις δοκεῖ καὶ ἀποστροφῆς καὶ ὀρέξεως ἔφεσις· ὁ δὲ λόγος μόνου τοῦ τῶν ἀνθρώπων γένους ἐστίν, ὡς καὶ ὁ νοῦς μόνου τοῦ θείου. Ἔνθεν δὴ συμβαίνει τήνδε τὴν γνῶσιν προέχειν τῶν ἄλλων, ἣ τῇ ἑαυτῆς φύσει οὐχ ὅτι τὸ οἰκεῖον, ἀλλὰ καὶ τὰ τῶν ἄλλων γνώσεων ὑποκείμενα πάντα γινώσκει. Τί τοιγαροῦν ἔσται, εἰ πρὸς τὸ λογικὸν ἥ τε αἴσθησις

[1]) Part. de ἀναθρώσκω. Paris. id. MSC. ἀνθορῶν. Texte : *tum mentis vigor excitus.* [2]) ἰκέλας.

καὶ ἡ φαντασία μάχην ἄραιντο, μηδὲν ἐκεῖνο τὸ καθόλου λέγουσαι εἶναι, ὅπερ ἑαυτὸν ὁ λόγος σκοπεῖν οἴεται; ὃ γὰρ αἰσθητόν ἐστι καὶ φανταστὸν, τοῦτο γενικὸν εἶναι οὐχ οἷόν τ' εἶναι· ἢ τοίνυν τὸ τοῦ λόγου κριτήριον ἀληθὲς εἶναι, καὶ μηδὲν εἶναί τι αἰσθητὸν, ἢ ἐπείπερ οἶδε πλεῖστα τῇ αἰσθήσει καὶ φαντασίᾳ τὰ ὑποκείμενα, κενὴν εἶναι τὴν τοῦ λόγου διάληψιν, ὃς τὸ αἰσθητόν τε καὶ ἄτομον ὥς τι τῶν καθόλου κατανοεῖ. Πρὸς δὴ ταῦτα εἰ ἀνταποκρινεῖται ὁ λόγος ἑαυτὸν μὲν καὶ τὸ αἰσθητὸν καὶ τὸ φανταστὸν τῷ καθόλου λόγῳ συνορᾷν, ἐκείνας [1]) δὲ πρὸς τὴν τοῦ καθόλου γνῶσιν ἀδυνατεῖν ἀνανεῦσαι, ὅτι περ ἡ γνῶσις αὐτῶν ἀμηχάνως ἔχει τὰ τοῦ σώματος ὑπερκύψαι σχήματα· περὶ δὲ τῆς τῶν ὄντων γνώσεως τῷ ἰσχυροτέρῳ [2]) μᾶλλον καὶ ἐντελεστέρῳ κριτηρίῳ πιστεύειν χρεών. Ἐν τῇ τοιᾷδε ἡμεῖς διαμάχῃ, οἷς ἥ τε τοῦ λογίζεσθαι καὶ φαντάζεσθαι καὶ αἰσθάνεσθαι δύναμις πρόσεστιν, οὐ πάντως τὴν τοῦ λόγου προτιμήσομεν δικαιολογίαν; Τὸ δὲ οὐδὲν ἀπέοικε τῆς νῦν ὑποθέσεως, ὅτι περ ὁ ἀνθρώπινος λόγος οὐκ οἴεται τὴν θείαν νόησιν τὰ μέλλοντα, εἰ μὴ ὡς αὐτὸς γινώσκει, ἐπισκοπεῖσθαι. Καὶ γὰρ οὕτω δημηγορεῖς, εἴ τινα βεβαίας καὶ ἀναγκαίας ἔχειν τὰς ἐκβάσεις οὐ δοκεῖ, ταῦτά γε ὡρισμένως γενησόμενα προγινώσκεσθαι οὐκ εὐπόρως ἔχειν. Τούτων τοίνυν οὐδ' ὁποία τίς ἐστι πρόγνωσις, ἣν εἰ καὶ προσεῖναι τούτοις πιστεύσομεν, οὐδὲν ἔσται ὃ μὴ ἐξ ἀνάγκης προέρχοιτο. Εἰ τοίνυν, ὡς μετουσία ἡμῖν ἐστὶ λόγου, οὕτω καὶ τῆς θείας διανοίας τὸ κριτήριον ἐπλουτήσαμεν, ὥσπερ τὴν φαντασίαν καὶ αἴσθησιν ὑπείκειν τῷ λόγῳ δεῖν εἶναι κεκρίκαμεν, κατὰ τὰ αὐτὰ καὶ τῇ θείᾳ νοήσει ἑαυτὸν τὸν ἀνθρώπινον ὑποτάττειν λόγον δικαιότατον ἂν ἔγνωμεν. Ἀμέλει καὶ πρὸς τὴν τῆς θείας νοήσεως περιωπὴν, εἰ δυνατὸν, ἀναδράμωμεν· ἐκεῖ γὰρ ὁ λόγος θεάσεται ὅπερ ἐν ἑαυτῷ σκοπῆσαι ἄπορος πανταχόθεν καθίσταται. Τοῦτο δ' ἐστὶ τίνα τρόπον ἂν καὶ τὰ κεκυρωμένας τὰς ἐκβάσεις μὴ ἴσχοντα, βέβαια ὅμως αὐτὰ ὁρῴη [3]) καὶ διωρισμένα ἡ πρόγνωσις· καὶ μηδαμῶς ὑπόληψις εἴη τοῦτο, ἀκροτάτης δὲ μᾶλλον γνώσεως, μηδέσιν ὁρίοις ἐναπολαμβανομένη ἁπλότης.

---

[1]) MSC. ἐκεῖναι. [2]) ἰσχυρωτέρῳ. [3]) ὁρώη.

Δαιδαλέοις μορφώμασι κνώδαλα πλεῖστα γῆν νέμονται,
ὧν τὰ μὲν ἐκταδίοις ἐνὶ σώμασι γαῖαν ἐσθίουσι,
στήθεσι κιννυμένοισι δηνεκῆ αὔλακα γράφοντα·
ἠέρα δὲ πτερύγων ἐπιθείνετον ἄλλα κουφότητι,
νηχόμεν' ἀτρυγέτοιο δι' αἰθέρος οἶμον ἀστίβητον·
ἄλλα δ' ἴχνος στήριξεν [1]) ἐπὶ χθονὶ καί τε βηματίζει,
ἢ χλοεροῖς πεδίοισιν ἀλώμενα ἢ λόχμαις δασείαις·
ἀλλ' εἰ τὴν μόρφωσιν ἀσύμβατον ἔσχε ταῦτα πάντα,
προπρηνῆ τὴν ὄψιν ὅμως λάχε νόσφι νοῦ βιβάντα·
φῦλα βροτῶν μόνα κούφισεν ὑψόσε πρώονας καρήνων,
κοῦφα δ' ἐπ' ὀρθῷ βαίνει σώματι γῆς ὑπερφρονοῦντα.
Σχῆμα τόδ', εἰ μὴ τοῖς χθονίοις πρόχνυ βουκολῇ, διδάσκει
τόν γ' αἴροντά σε πρὸς πόλον ὄμματα καὶ μέτωπα γυμνά,
καὶ νόα αἶρε μετήορον, ὄφρ' ὅδε μὴ κάτω βαρυνθεὶς,
σώματος ὑψιλόφου χθαμαλώτερος ὢν, ἔραζε νεύοι.

Ἐπεὶ τοιγαροῦν, ὡς ὀλίγον ἔμπροσθεν ἀποδέδεικται, πᾶν τὸ γινωσκόμενον οὔκουν ἐκ τῆς ἰδίας, ἀλλ' ἐκ τῆς τοῦ καταλαμβάνοντος αὐτὸ γινώσκεται φύσεως, ἐπισκεψώμεθα τανῦν ἐφ' ὅσον θέμις τίς ποτ' ἂν εἴη ἡ τῆς θείας οὐσίας κατάστασις, τοῦ καὶ τὴν αὐτῆς γνῶσιν ἥτις ποτέ ἐστι μαθεῖν δυνηθῆναι. Τὸν θεὸν αἰώνιον εἶναι πάντων τῶν λόγῳ διαγιγνομένων κοινόν ἐστι ψήφισμα. Τί ποτε τοίνυν ἐστὶν αἰὼν, εἴτ' οὖν [2]) ὡς λόγῳ εἰπεῖν αἰωνιότης, σκοπήσωμεν· αὕτη γὰρ ἡμῖν καθαρώτατα τὴν θείαν φύσιν ὁμοῦ καὶ γνῶσιν μηνύσει. Αἰωνιότης τοίνυν ἐστὶν ἀπεριόριστος ζωῆς ὅλη ἐν ταὐτῷ καὶ ἐντελὴς κτῆσις, ὅπερ ἐκδηλότερον ἐκ τῆς συνεξετάσεως τῶν ἐν χρόνῳ. Βιοῦν, τοῦτο ἐνεστηκὸς ὂν, ἐκ τῶν παρῳχημένων ἐπὶ τὰ μέλλοντα πρόεισι· καὶ οὐκ ἔστιν οὐδὲν ἐν χρόνῳ κατειλεγμένον, ὅπερ ὅλον τὸ τῆς ἰδίας ζωῆς διάστημα ξυνάμα δυνήσεται περιλαβεῖν. Καὶ γὰρ τοῦ μὲν αὔριον οὐκ ἐπελάβετό πω [3]), τὸ δὲ χθὲς ἀπώλεσεν ἤδη, κἀν τῇ σήμερον δὲ ζωῇ οὐκ ἐπὶ πλέον βιώσητε ἢ ὅσον τῇ εὐκινήτῳ καὶ παριούσῃ στιγμῇ. Ὃ τοίνυν τὴν τοῦ χρόνου πάσχον ἐστὶν ἀκολουθίαν, εἰ καὶ ταμάλιστα τὸ τοιοῦτο καθὰ δὴ περὶ τοῦ κόσμου ἐγνωμάτευσεν Ἀριστοτέλης, οὔτ' ἤρξατο τοῦ εἶναί ποτε οὔτε παύσεται, καὶ ἡ τούτου ζωὴ τῷ ἀπείρῳ τοῦ χρόνου συμπαρεκτείνεται, ὅμως οὔπω τοιοῦτόν ἐστιν, ὥστε καὶ αἰώνιον σὺν δίκῃ πιστεύεσθαι. Οὐδὲ γὰρ ὅλον ὑφὲν τὸ τοῦ βίου διάστη-

---

1) MSC. ἐστήριξεν. 2) εἴτουν. 3) τόπῳ.

μα, καὶ ἀπείρου γε ὄντος, περιλαμβάνει καὶ ἐγκολπίζεται· ἀλλὰ τὰ μὲν μέλλοντα οὔπω, τὰ παρεληλυθότα δὲ ἤδη οὐκ ἔχει. Ὃ δὲ τὸ ἀπεριόριστον ἄθροισμα τῆς ζωῆς ὅλον ἀθρόον περιλαμβάνει καὶ κέκτηται, ᾧ μήτε τι τοῦ μέλλοντος ἄπεστι μήτε τοῦ παρῳχηκότος ἀπέῤῥευσε, τοῦτ' αἰώνιον εὐλόγως εἶναι παρίσταται. Ἀνάγκη τε πᾶσα τοῦτο ἀσφαλῶς ἐνεστηκὸς ἑαυτῷ ἀειδήποτε παρεστάναι [1]) καὶ τὴν ἀπορίαν τοῦ ἐν κινήσει χρόνου ἐνεστηκυῖαν ἔχειν. Ὅθεν καὶ οὐκ ὀρθῶς τινὲς ἀκούοντες δόξαντα τῷ Πλάτωνι τόνδε τὸν κόσμον μήτε ἀρχὴν ἐσχηκέναι χρόνου μήτε μὴν τέλος ἕξειν, ἐντεῦθεν τῷ δημιουργῷ τὸν δημιουργηθέντα κόσμον συναΐδιον εἶναι ὑπέλαβον. Ἕτερον γάρ ἐστι τὸ διὰ βιοτῆς [2]) ἀπείρου διήκειν, ὃ τῷ κόσμῳ Πλάτων ἀπένειμε, καὶ ἕτερον τὸ τὴν ἄπειρον ζωὴν ὅλην ἐπὶ τὸ αὐτὸ περιειληφέναι ἐνεστηκυῖαν, ὃ τῆς θείας διανοίας ἴδιον εἶναι σαφεστάτη πίστις ἐστί. Καὶ οὐδὲ τῶν ποιημάτων δὲ ὁ θεὸς πρεσβύτερος δοκεῖν πρέπον ἐστὶ χρόνου ποσότητι, ἀλλὰ τῇ τῆς ἁπλῆς μᾶλλον φύσεως ἰδιότητι. Τὴν γὰρ τῆς ἀμετακινήτου ζωῆς ἐνεστηκυῖαν ταύτῃ κατάστασιν ἡ ἄπειρος τῶν ἐν χρόνῳ μιμεῖται κίνησις [3]). Διὸ δὴ καὶ μὴ δυναμένη ταύτην ἀναμάξασθαι καὶ κατὰ τὸ παντελὲς ἰσωθῆναι, ἐξ ἀκινησίας εἰς κίνησιν ἀποπέπτωκε, κἀκ τῆς τοῦ ἐνεστῶτος ἁπλότητος εἰς ἄπειρον προκέκοφε μέλλοντός τε καὶ παρῳχημένου ποσότητα· κἀπειδὴ ὅλον ἀπὸ μιᾶς τὸ τῆς ἰδίας ζωῆς ἄθροισμα κεκτῆσθαι ἄπορον αὐτῇ συμβαίνει, αὐτῷ τούτῳ τῷ τρόπον τινὰ μηδέποτε τοῦ εἶναι λήγειν, ὅπερ ἀνύσαι καὶ πρὸς ἀλήθειαν ἀγαγεῖν οὐκ ἐφικνεῖται, ἀμωσγέπως μιμεῖσθαι δοκεῖ, συνδέουσα ἑαυτὴν πρὸς ὁποιονδήποτε ἐνεστηκός. Τὸ βραχὺ δὴ τοῦτο καὶ πτηνὸν καὶ ἀκαριαῖον, ὅπερ ἐπειδὴ τοῦ μέλλοντος ἐνεστῶτος ἐκείνου εἰκόνα τινὰ φέρει, οἷς ἂν προσγένηται, χαρίζεται τὸ δοκεῖν εἶναι. Ἐπεὶ δὲ καὶ διαμένειν ἐν ἀμηχάνῳ γέγονεν, ἀπέραντον ὁδὸν προσελάβετο χρόνου· ταῦτ' ἄρα καὶ περιέστη εἰς τὸ συνεχῆ κινούμενον τὴν ζωὴν ἔχειν, ἧς τὴν σωρείαν διαμένον περιλαβεῖν ἀπόρως ἔσχεν. Ἀμέλει καὶ εἰ ἄξια καὶ ἀνάλογα τοῖς πράγμασιν ὀνόματα τιθέναι βουλοίμεθα, τῷ Πλάτωνι κατ' ἴχνος ἑπόμενοι, τὸν θεὸν μὲν αἰώνιον, τὸν δὲ κόσμον ἀΐδιον εἶναι λέγωμεν. Ἐπεὶ τοί-

---

[1]) MSC. βιωτῆς. [2]) παρεστᾶναι. [3]) κίνησιν.

νυν πᾶν κριτήριον κατὰ τὴν ἑαυτοῦ φύσιν καταλαμβάνει τὰ αὐτῷ ὑποκείμενα, τῷ δὲ Θεῷ ἀειδήποτε αἰώνιος καὶ ἐνεστηκυῖά ἐστιν ἡ κατάστασις, καὶ ἡ γνῶσις ἄρα αὐτοῦ πᾶσαν χρόνου κίνησιν ὑπερβαίνουσα ἐν τῇ ἁπλότητι μένει τοῦ ἑαυτῆς ἐνεστῶτος, τὰ δὲ ἄπειρα τοῦ παρῳχημένου τε καὶ μέλλοντος διαστήματα συλλαμβάνουσα πάντα ὡς ἤδη γιγνόμενα ἐν τῇ ἑαυτῆς ἁπλῇ γε εἰδήσει κατανοεῖ. Τοιγάρτοι εἰ τὴν πρόγνωσιν σταθμήσασθαι βούλει ᾗ πάντα ἐπίσταται, οὐ πρόγνωσιν ὡσανεὶ τοῦ μέλλοντος, ἀλλὰ γνῶσιν [1]) οὐκ ἔστιν ὅτε λήγοντος ἐνεστῶτος ὀρθότερον οἰηθήσῃ. Ὅθεν καὶ π ρ ό ν ο ι α μᾶλλον εἰς ἀκοὴν ἔρχεται, οὐχ ὅτι πρὶν γενέσθαι τὰ γενησόμενα οἶδεν, ἀλλ' ὅτι δὴ τῶν χαμερπῶν ἐκτὸς καθιδρυμένη πραγμάτων (καὶ τοῦτο γὰρ ἡ π ρ ὸ πρόθεσις νοεῖν δίδωσιν) ὡς ἐξ ὕψους τῆς τῶν ὄντων περιωπῆς πάντα ἐπισκοπεῖται. Τί ποτε οὖν ἀπαιτεῖς ἀναγκαῖα γίγνεσθαι τὰ τῷ θείῳ φωτὶ περιαστραπτόμενα, ὅπου γε οὐδ' ἄνθρωποι ἀναγκαῖα ποιοῦσιν εἶναι ἃ βλέπουσι; Μὴ γὰρ ἅπερ ἐνεστηκότα βλέπεις, ἀνάγκην τούτοις ἡ σὴ ὄψις ἐπάγει τινά; Ἄπαγε. Εἰ γοῦν ἐστὶν ἀξία τις τοῦ τε θείου καὶ ἀνθρωπίνου ἐνεστῶτος παράθεσις, ὡς ὑμεῖς ἐν τῷδε τῷ ἐνεστῶτι χρονικῷ τινὰ βλέπετε, οὕτω καὶ ὁ Θεὸς τῷ ἑαυτοῦ αἰωνίῳ πάντα γε ἑξῆς ἐφορᾷ. Οὗ εἵνεκεν ἡ θεία πρόγνωσις ἥδε τὴν τῶν πραγμάτων φύσιν καὶ ἰδιότητα οὐδ' ὅσον μεταῤῥυθμίζει, καὶ τοιάδε παρ' ἑαυτῇ ταῦτα κατὰ τὸ ἐνεστηκὸς οἶδεν, οἷα ἐν καιρῷ ποτὲ μέλλοντα προελεύσεται. Καὶ μὴν οὐδὲ τὰς τῶν πραγμάτων συγχεῖ κρίσεις [2]), μιᾷ δέ γε τῆς ἰδίας διανοίας ἐπισκοπῇ τά τε ἀναγκαῖα καὶ τὰ μὴ ἀναγκαῖα μέλλοντα διαγιγνώσκει. Οἷά που καὶ ὑμεῖς ὁρῶντες κατα τὸ αὐτὸ ἄνθρωπον ἐπὶ γῆς βαδίζοντα καὶ τὸν ἥλιον ἀνίσχοντα ἐν τῷ οὐρανῷ, εἰ καὶ ταμάλιστα ἑκάτερον ὁμοῦ βλέπετε, ὅμως ἀμφοτέροις διαιτᾶτε, καὶ τὸ μὲν ἑκούσιον, τὸ δ' ἀναγκαῖον κρίνετε· οὕτω τὸ θεῖον ὄμμα ἐφορῶν πάντα τὴν τῶν πραγμάτων ποιότητα ἥκιστα συνταράττει, τῶν παρ' ἑαυτῷ μὲν ἐνεστηκότων, παρὰ δὲ τῷ τοῦ χρόνου εἱρμῷ μελλόντων. Ἐξ οὗ δὴ συμβέβηκε μὴ ἄν ποτε ὑπόληψιν εἶναι τουτί, τῇ δ' ἀληθείᾳ μᾶλλον ἐπερείδουσαν ἑαυτὴν γνῶσιν, ὁπότε οἶδέ τις συστησόμενον ὃ πρὸς τὸ συστῆναι πά-

---

[1]) MSC. γνῶσις. [2]) κρίσις.

στης ἀνάγκης ἀφειμένον οὐκ ἀγνοεῖ. Εἰ δὲ σὺ πάλιν λέγεις ὡς ὅπερ ὁ Θεὸς ὁρᾷ γενησόμενον, τοῦτο μὴ γενέσθαι ἀμήχανον, ὃ δὲ ἀμήχανόν ἐστι μὴ γενέσθαι, τοῦτο καὶ ἐξ ἀνάγκης συμβαίνει, καί με πρὸς τὸ τῆς ἀνάγκης ὄνομα συνελαύνεις, ἐρῶ πρᾶγμα ἀληθείας μὲν ἀῤῥήκτου ἐχόμενον, ἀλλὰ μόλις τις, ὅς γε μὴ θεωρὸς τοῦ θείου, προσήσεται. Ἀποκρινοῦμαι καὶ γὰρ τὸ μέλλον τοῦτο, ἡνίκα μὲν πρὸς τὴν θείαν ἀναφέρεται γνῶσιν, ἀναγκαῖον, ἡνίκα δὲ ἐν τῇ ἑαυτοῦ φύσει νοεῖται, ἐλεύθερον πάντῃ θεωρεῖσθαι καὶ ἀπολελυμένον. Δύο καὶ γάρ εἰσιν ἀνάγκαι, μία μὲν ἁπλῶς, ὡς ἀνάγκη πάντας ἀνθρώπους εἶναι θνητοὺς, θατέρα δὲ τῆς αἱρέσεως, ὡς εἴ τινα οἶδας βαδίζοντα, ἀνάγκη βαδίζειν αὐτόν. Ὃ γάρ τις ἔγνω, τοῦτ᾽ ἄλλως ἢ ὡς ἔγνω οὐχ οἷόν τε· ἀλλ᾽ ἡ αἵρεσις ἥδε οὐδ᾽ ὁπωσοῦν τὴν ἁπλῆν ἐκείνην ἑαυτῇ συνεπάγεται. Ταύτην γὰρ τὴν ἀνάγκην οὐκ ἰδία ποιεῖ φύσις, ἀλλ᾽ ἡ ἐπαγωγὴ τῆς αἱρέσεως. Οὐδεμία γὰρ ἀνάγκη βαδίζειν βιάζεται τὸν αὐθαιρέτως βαδίζοντα, εἰ καὶ ὅτε βαδίζει, βαδίζειν αὐτόν ἐστιν ἀνάγκη. Καὶ τούτῳ τῷ τρόπῳ, ὅπερ ἡ πρόνοια ἐνεστηκὸς βλέπει, τοῦτο καὶ ἀνάγκη εἶναι, εἰ καὶ ταμάλιστα μηδεμίαν ἀνάγκην φύσεως ἔχει. Καί γε ὁ θεὸς τὰ μέλλοντα, τὰ καὶ ἐκ προαιρέσεως ἐλευθερίας προϊόντα, ἐνεστῶτα κατανοεῖ. Ταυτὶ τοίνυν, πρὸς μὲν τὴν θείαν ἐφορείαν ἀναφερόμενα, ἀναγκαῖα γίγνεται τῇ καταστάσει τῆς θείας νοήσεως· καθ᾽ αὐτὰ δὲ θεωρούμενα, τοῦ ἀνέτου καὶ ἐλευθέρου τῆς ἑαυτῶν φύσεως οὐκ ἀφίσταται. Γίγνονται τοιγαροῦν ἀναμφιβόλως πάντα ὅσα μέλλοντα θεὸς προγιγνώσκει· ἀλλ᾽ ἔστιν ἃ τούτων ἐξ ἀδεσπότου γνώμης πρόεισιν, ἅπερ εἰ καὶ ταμάλιστα γίγνοιτο, ὅμως ἐν τῷ συνίστασθαι τὴν ἰδίαν οὐκ ἀποβάλλει φύσιν, δι᾽ ἧς καὶ πρὶν ἢ [2]) γενέσθαι, οἷά τ᾽ ἦν μὴ γίνεσθαι. Τί τοίνυν διενήνοχε μὴ εἶναι ταῦτά γε ἀναγκαῖα, εἴ γε διὰ τὴν τῆς θείας γνώσεως κατάστασιν πᾶσι τρόποις ἀνάγκης ἴνδαλμα ἐπακολουθεῖ; Τουτὶ δήποθεν, ὅτι περ ὡς τὰ μικρῷ πρόσθεν εἰρημένα, ἥλιος ἀνιὼν καὶ πορευόμενος ἄνθρωπος ἐν τῷ γίγνεσθαι ἀδυνάτως ἔχει μὴ γίγνεσθαι· τούτων δὲ θάτερον μὲν καὶ πρότερον πρὶν ἢ γενέσθαι ἀναγκαῖον ἦν ἀπαντῆσαι, θάτερον δὲ οὐδαμῶς. Οὕτω καὶ ἅπερ ἐνεστῶτα

---

[1]) MSC. πρινὴ, id. ci-dessous.

θεὸς ἔχει, ἀναμφηρίστως γενήσεται· ἀλλὰ τούτων τὸ μὲν ἐκ τῆς τῶν πραγμάτων ἀνάγκης κάτεισι, τὸ δ' ἐκ τῆς ἐξουσίας τῶν ἐνεργούντων. Οὐκ ἄρα τοιγαροῦν παρὰ τὸ εἰκὸς εἴπομεν ταῦτα, εἰ μὲν πρὸς τὴν θείαν ἀνεφέροιντο γνῶσιν, ἀναγκαῖα καθεστάναι [1]), εἰ δὲ καθ' αὑτὰ σκοποῖντο, τῶν τῆς ἀνάγκης ἀνεῖσθαι δεσμῶν· ὡς οἷα καὶ πᾶν τὸ ταῖς αἰσθήσεσιν ὑποκείμενον, εἰ μὲν πρὸς τὸν λόγον τὴν ἀναφορὰν ἔχοι, καθόλου ἐστίν, εἰ δὲ πρὸς αὐτὰς σκοποίης, μερικόν. Ἀλλ' εἴπερ ἐν τῇ ἐμαυτοῦ, φήσεις, ἐξουσίᾳ κεῖται τὸ μεθαρμόζειν τὴν πρόθεσιν, κατὰ κενοῦ βαίνειν ποιήσω τὴν πρόνοιαν, ἐπειδὰν ἴσως ἅπερ ἐκείνη προέγνω [2]) μετασκευάσω. Ἀποκρινοῦμαι γοῦν καὶ πρὸς τούτοις· τὴν μὲν πρόθεσιν σαυτοῦ μετατρέπειν σε δύνασθαι, ἀλλ' ἐπεὶ καὶ τὸ τοῦτο δύνασθαι καὶ εἰ ποιήσεις καὶ ὅποι καταστρέψεις, ἐνεστηκὸς ἡ τῆς προνοίας ἀλήθεια θεωρεῖ, μὴ δύνασθαί σε τὴν θείαν πρόγνωσιν διακρούσασθαι. ὥσπερ που καὶ τοῦ παρόντος ὀφθαλμοῦ τὴν ὅρασιν ἐκφυγεῖν οὐ δυνήσῃ, εἰ καὶ ταμάλιστα πρὸς παντοδαπὰς ἐνεργείας σαυτὸν τῇ τοῦ θελήματος αὐτονομίᾳ μετακυλίσεις. Τί τοίνυν ἐρεῖς; Ἆρ' ἐκ τῆς ἐμῆς οἰκονομίας ἡ θεία μεταπεσεῖται πρόνοια, ὥστε ἐμοῦ νῦν μὲν τόδε, νῦν δ' ἐκεῖνο αἱρουμένου, κἀκείνην τὰς γνώσεις μεταλαμβάνειν δοκεῖν; Οὐκ ἔστιν εἰπεῖν. Προφθάνει γὰρ τὸ μέλλον ἅπαν ὁ θεῖος ὀφθαλμός, καὶ πρὸς τὸ ἐνεστηκὸς τῆς ἑαυτοῦ γνώσεως ἐπιστρέφει τε καὶ ἀνακαλεῖ· καὶ οὐδὲ μεταλαμβάνει, ὡς εἰκάζεις αὐτός, ὁτὲ μὲν τουτοΐ, ὁτὲ δὲ ἐκεινοΐ ἐν τῇ τοῦ προγινώσκειν μοίρᾳ, ἀλλὰ κατὰ μίαν ἐπιβολὴν [3]) τὰς σὰς μένων μεταβολὰς αὐτὸς προλαμβάνει τε καὶ περιλαμβάνει. Τὴν δὲ πρόγνωσιν ταύτην, δι' ἧς πάντα ἐνεστῶτα καταλαμβάνει καὶ ἐφορᾷ, οὐκ ἐκ τῆς ἐκβάσεως τῶν μελλόντων πραγμάτων, ἀλλ' ἐκ τῆς ἐμφύτου ἁπλότητος ὁ θεὸς ἐκληρώσατο. Ἐξ οὗ κἀκεῖνο δὴ λύεται, ὃ μικρὸν ἔμπροσθεν ἀνάξιον ἔθου, εἰ τῇ τοῦ θεοῦ γνώσει αἰτίαν τὰ ἐν ἡμῖν μέλλοντα διδόναι λέγοιντο. Αὕτη γὰρ ἡ τῆς γνώσεως δύναμις τῇ κατὰ τὸ ἐνεστηκὸς εἰδήσει πάντα περιλαμβάνουσα πᾶσιν ὅρον αὐτὴ κατέστησε, καὶ οὐκ ὀφείλει τοῖς μεταγενεστέροις οὐδέν. Τούτων οὕτως ἐχόντων, ἐντελὲς τοῖς ἀνθρώποις τὸ αὐτεξούσιον λείπεται,

---

[1]) MSC. καθεστᾶναι. [2]) προέγνως. [3]) ἐπηβολὴν.

καὶ οὐδ' οἱ νόμοι παρὰ τὸ προσῆκον ταῖς ἀπηλλαγμέναις πάσης ἀνάγκης βουλήσεσιν ἆθλά τε προτιθέασι καὶ κολάσεις· μένει τε πάντων ἔφορος καὶ προγνώστης ὁ θεὸς, καὶ τὸ τῆς ἐφορείας αὐτοῦ [1] αἰώνιον ἐνεστηκὸς αἰεὶ συντρέχει τῇ μελλούσῃ τῶν ἡμετέρων ἔργων ποιότητι, γέρα μὲν τοῖς ἀγαθοῖς, τιμωρίας δὲ τοῖς πονηροῖς διανέμον. Καὶ οὐδὲ μάτην ἐν τῷ θεῷ κεῖται τὰ τῶν ἐλπίδων τε καὶ εὐχῶν, αἳ δὴ ἐπειδὰν ὀρθῶς γίγνωνται, ἄπρακτοι εἶναι οὐχ οἷαί τε εἰσίν. Ἀποστράφητε τοιγαροῦν τὴν κακίαν, τιμήσατε τὰς ἀρετὰς, πρὸς ἀληθεῖς ἐλπίδας τὸν νοῦν ἀνατείνατε, ἐν ταπεινώσει δεήσεις ἀναπέμπετε πρὸς τὸν ὕψιστον. Μεγάλη τις ὑμῖν, εἰ μὴ ἀποπροσποιεῖσθαι βούλεσθε, τῆς καλοκἀγαθίας ἀνάγκη ἐπίκειται, ὁπότε πρὸ ὀφθαλμῶν ἀναστρέφεσθε κριτοῦ τὰ πάντα ἐπισκοποῦντος.

---

[1]) MSC. αὐτόν.

# ΠΙΝΑΞ


| | Σελίδες |
|---|---|
| Πρόλογος | v |
| ΒΙΒΛΙΟΝ Α | 1 |
| ΒΙΒΛΙΟΝ Β | 19 |
| ΒΙΒΛΙΟΝ Γ | 41 |
| ΒΙΒΛΙΟΝ Δ | 71 |
| ΒΙΒΛΙΟΝ Ε | 99 |